This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



ΑΛΚΙΝΟΟΥ
ΦΙΛΟΣΟΦΟΥ
ΕΙΣΑΓΩΓΗ
ΤΩΝ ΔΟΓΜΑΤΩΝ
ΠΛΑΤΩΝΟΣ.

Νῦν πρῶτον τυπωθεῖσα, καὶ μετὰ πλείστης
ἐπιμελείας διορθωθεῖσα.

ΕΝΕΤΙΗΣΙΝ, 1748.
φ ψ μ η.
Παρὰ Αἰνεμίῳ τῷ Βόρτολι.
CON LICENZA DE' SUPERIORI.

2012 £

OCT 90

Τοῖς φιλομαθέσιν ἅπασι, καὶ φιλοσοφίας ἐραστῆς Ἀναγνώσεται.

Ὅτ' δέινα τῶν ἐλλογίμων εἶναι νομίζω τὸν ὁπωσοῦν μὴ εἰδότα, ὅσον τῷ σοφῷ Πλάτωνος, καὶ ἧς ἄλλων ἐν φιλοσοφίᾳ διατριψάντων τυγχάνει γε ὂν τὸ διάστημα. Διότι τοῦτο καὶ παρὰ πάντων ὁμοσυγόρυπται Θεῖος, ὅπερ οὐδὲ εἷς τις ἧς ἄλλων φιλοσόφων ἀκήκοε. Καὶ ἐάλαγε οἰκότως πάντη ὑπὸ μόνος ἔλαβε τὴν ἐπωνυμίαν πείπερ, οἷα τινὶ τῷ Θείῳ δαιμονι, τὰς λοιπὰς ὑπερηκόντισεν ἅπασας ἔν τε τῇ τῶ λέγειν δεινότητι, καὶ τῇ χρηστότητι τῶν ἠθῶν, καὶ ὑξαιρέτως ἐν τῷ τῶν δογμάτων δοκίμῳ. Ἀλλ' ὅμως περ ἐν τοῖς δόξασιν ἰσὶν ἀκριβέσατος, τοσούτῳ δύσκολόπτοί τε καὶ δυσνόητοι εἰ τῷ Ἀνδρὸς διατελοῦσι Διάλογοι, ὑξόχως δὲ ἐν τοῖς Φυσικοῖς· ὅπερ δὴ καὶ ἐν αἰτίᾳ κατέστηκε τῷ δύκολος δύνασθαι, τὰ αὐτῷ ἀρέσκοντα ἢ κατὰ κλῆσιν νοεῖσθαι, καὶ διαστρέφεσθαι. Πέφυκε γὰρ τὰ μεγάλα καὶ ὑπερέχοντα τῇ ἀξίᾳ, δύσκολά τε, καὶ ἐκ εὐλύπητα ὑπάρχοντα εἶναι. Ταῦτα δὴ κατιδὼν ὁ κλεινὸς ἐν φιλοσόφοις Ἀλκίνους τὸν Θεῖον Φιλόσοφον ἐκεῖνα Ἀκροατὴν ἐξιώπατος, ἐν παύτῳ δὲ γινώσκων, ὅσον ἐπωφελής τε καὶ χρήσιμος τῇ τε φιλοσοφίᾳ, καὶ τοῖς περὶ αὐτὸν πραγματευομένοις φιλομαθέσιν ἡ τοῦ Θείου Πλάτωνος Διδασκαλία ἔμελλεν ἔσεσθαι, Εἰσαγωγὴν εἰς πάντα τὰ τοῦ Διδασκάλου αὐτοῦ ἀρέσκοντα ἐποίησατο. Ἐν ἧπερ ὑξηγεῖ τε καὶ σαφηνίζει πάντα τὰ ἐν ἑκάστῳ τῆς φιλοσοφίας εἴδει ἐντυγχάνοντα δύσληπτα, διαιρῶν τε, καὶ διοδεύων τὰς ὁρμὰς ἅπασας. Καὶ μὲν καὶ ἐκ τῶν γενικῶς περὶ τῆς Φιλοσοφίας καὶ τοῦ φιλοσόφου, τοῦ τε θεωρητικοῦ, καὶ πρακτικοῦ ἐν ζητουμένων τὴν ἀρχὴν ποιησάμενος, ἐξῆς διαιρήται αὐ-

αὐτῷ ἡ Φιλοσοφία ἔν τε τῇ τῶν ὄντων γνώσει, καὶ ἐν τ
«πράξει τῶν καλῶν, καὶ ἐν αὐτῇ τῇ τοῦ λόγου θεωρία
ὧν ἡ μὲν τῶν ὄντων γνῶσις θεωρητικὴ, τίς Μαθηματικὴ
περιλαμβάνουσα ἐπιστήμας, τὰ Φυσικά τε, καὶ Μετα
σικά· ἡ δὲ τῶν πρακτέων πρακτική, αὐτὴν Ἠθικήν
ἡ περὶ τὸν λόγον δὲ Διαλεκτικὴ προσηγόρευται· τ
ῆς, καὶ πρότερον λέγω, καὶ ἑπομένως περὶ τῶν θεωρητικῶν
τέλος δὲ περὶ τῶν ἠθικῶν. Ἐν πᾶσι δὲ τοῖς αὐτ
τύποις τὰ μέρη αὐτῶν, καὶ τὰ ὑποκείμενα περιεσκοπῶ
καὶ ἀκριβῶς διεξέζομι. Ἐν τῇ Εἰσαγωγῇ πάντη, ἃ μάλ
λον αὐτῶν τῆς τοῦ Πλάτωνος Διδασκαλίας ἁπάσης
Συνόψει, ἀγαστὸς πάνυ, καὶ πολλοῦ ἄξιος ἐπαίνου ὁ κλε
νὸς Ἀλκίνοος, τῆς τε ῥᾳθυμίας, καὶ τῆς σαφηνείας ἐ
νεκεν, καὶ πολλῷ μᾶλλον τοῦ τὰς διαφόρους ὑποθέσεις κα
τὰ λόγον συναρμόζοντος, καὶ διακρίνοντος. Περιττὸν δὲ
πολυλογεῖν σπουδάζοντας ἡγοῦμαι τὰ λίαν, ὅσον ἐπιθέλ
σε καὶ ἐμφασίας τοῖς φιλομαθέσι τε καὶ φιλοσόφοις πα
ρέσχε πάντη τῇ βραχεῖ μὲν, τελείᾳ δὲ, καὶ τῷ ἀξιο
ματι ὑπερεχούσῃ, καὶ χρησιμωτάτῃ Εἰσαγωγῇ· Ἅπαντ
γὰρ οἱ πάντων οὐχ ἅπαξ μόνον, ἀλλὰ δὶς, καὶ πολλ
κις, καὶ μετὰ πολλῆς ἐπιμελείας ἀναγνωσόμενοι, ὅ
αὐτῶς τὸ τέλειον ὑπάρχον, καταποθήσεται, ἐν τῇ αὐτ
ἀναγνώσει τοιμασί τισι ξένοις διαπαντὸς ἐντυγχάνοντ
θεωρητικοί τε καὶ ἔρωτικοὶ, κατὰ τὸν αὐτὸν Ἀλκίνοο
ὐξ ἀπολαυδίας καὶ τῶν λοιπῶν τοῦ Θείου Πλάτωνος δο
μάτων γινόμενοι.

Α'ΛΚΙΝΟΟ'ΥΤΟΥ ΦΙΛΟΣΟ'ΦΟΥ

ΕΙ'ΣΑΓΩΓΗ'

Τ'ΩΝ ΔΟΓΜΑ'ΤΩΝ

ΠΛΑ'ΤΩΝΟΣ.

ΚΕΦΑ'ΛΑΙΟΝ Α'.

Τί ἐστι Φιλοσοφία, καὶ ὁποία ἡ φιλοσοφικὴ δίφυία.

Τῶν κυριωτάτων Πλάτωνος δογμάτων, τοιαύτη τις ἂν διδασκαλία γένοιτο. Φιλοσοφία ἐστὶν ἕξις σοφίας, ἢ λύσις καὶ παραγωγὴ ψυχῆς ἀπὸ σώματος, ἢ τὰ νοητὰ ἡμῶν θεωρούσων, καὶ τὰ κατ' ἀλήθειαν ὄντα. Σοφία δέ ἐστιν ἐπιστήμη θείων, καὶ ἀνθρωπίνων πραγμάτων. Φιλόσοφος δ' ἐστὶν ὁ παρεσκευασμένως ἀπὸ ταύτης ἀνομασμένος, ὡς ὁ μυστικὸς ἀπὸ τῆς μυστικῆς. Παρασκευάζει δὲ πάντων χρὴ πρῶτον μὲν πρὸς τὰ μαθήματα, ὅσα δυνάμεται προκαθαίρειν καὶ προσάγειν αὐτὸν τῇ γνώσει τῆς νοητῆς οὐσίας, καὶ μὴ πλασματώδης τε καὶ ῥᾳδίας. Ἔπειτα

δὲ πρὸς τὴν ἀλήθειαν ἔχειν ἐρωτικῶς, καὶ μ
μὴ προσδέχεσθαι τὸ ψεῦδος. Ἐπὶ πᾶσιν δὲ
φύσει πως σώφρονα εἶναι, καὶ κατὰ τὸ παθη
τῆς ψυχῆς φυσικῶς κατεσταλμένον. Ὁ γὰρ ἐφ
νος μαθημάτων πρὸ τὰ ὄντα, καὶ ἐπὶ ταῦτα
πων αὐτὴν τὴν ὄρεξιν, ὑ θαυμάζοι αὖ τὰς
νάς. Δεῖ δὲ καὶ ἐλευθέριον εἶναι τῇ γνώμῃ
μέλοντα φιλοσοφεῖν. Ἐναντιώτατον γὰρ μικρ
γῆ ψυχῇ μεγάλῃ θεωρεῖν τὰ θεῖα καὶ ἀνθρ
να. Καὶ πρὸς δικαιοσύνην δὲ πεφυκέναι χρὴ
τὸν, εἴγε καὶ πρὸς ἀλήθειαν, καὶ πρὸς ἐλε
είαν, καὶ πρὸς σωφροσύνην· προσεῖναι δὲ
καὶ εὐμάθειαν καὶ μνήμην. Εἰδοποιεῖ γὰρ καὶ π
τὸν φιλόσοφον. Αὗται δὲ αἱ φύσεις παιδ
μὲν ὀρθῆς καὶ θεοφῆς τῆς προσηκούσης τυχοῦσ
τέλειον ἀποφαίνουσι πρὸς ἀρετήν. Ἀμεληθε
δὲ μεγάλων κακῶν αἴτιαι γίνονται. Ταύτα
καὶ ὁμωνύμως ταῖς ἀρεταῖς εἰώθασιν ὀνομάζε
Πλάτων, σωφροσύνην καὶ εὐμάθειαν καὶ δικ
σύνην.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ο' φιλόσοφος προκρίνει τὸ θεωρητικὸν τοῦ πρακτικοῦ.

Διττὸς δ' ὄντος τοῦ βίου, τοῦ μὲν, θεωρητικοῦ, τοῦ δὲ, πρακτικοῦ. Τοῦ μὲν θεωρητικοῦ τὸ κεφάλαιον, ἐν τῇ γνώσει τῆς ἀληθείας κεῖσθαι, τοῦ πρακτικοῦ δὲ ἐν τῷ πράξαι τὰ ὑπαγορευόμενα ἐκ τοῦ λόγου. Τίμιος μὲν δὴ ὁ θεωρητικὸς βίος, ἐπόμενος δὲ καὶ ἀναγκαῖος ὁ πρακτικός. Ὅτι δὲ τοῦτο ἔτως ἔχει, ἐντεῦθεν ἂν γένοιτο δῆλον. Εἴ τοίνυν ἡ θεωρία ἐνέργεια τοῦ νοῦντος καὶ νοητά. Ἡ δὲ πρᾶξις ψυχῆς λογικῆς ἐνέργεια διὰ σώματος γινομένη. Ἡ ψυχὴ δὴ θεωρῆσα μὲν τὸ θεῖον ἢ τὰς φύσεις τοῦ θεοῦ, εὐπαθεῖν τι λέγεται· καὶ τοῦτο τὸ πάθημα αὐτῆς, φρόνησις ὠνόμασται. Ὅπερ ἐκ ἕτερον εἶναι αἴτιος εἶναι τῆς πρὸς τὸ θεῖον ὁμοιώσεως. Ὅθεν ἢ προηγούμενον καὶ τίμιον αὐτοῦ τὸ τοιοῦτο, καὶ εὐκτικώτατον, ἢ οἰκειότατον, ἀναλλοίωτόν τι, ἢ ἐφ' ἡμῖν κείμενον, ἢ τοῦ προκειμένου τέλους ἡμῖν αἴτιον. Ἡ μέντοι πρᾶξις ἢ τὸ πρακτικὸν διὰ τοῦ σώματος περαινόμενα κωλυθῆναί τε δυνάμενα· καὶ πράττοντες οὐ ἐπαινούμεθα τῶν πραγμάτων, ἃ χάριν τοῦ θεω-

ρητικὸν βίον ὁρᾶται μελετῆσαι εἰς ἀνθρώπων ὠ
θη. Ἥξει γὰρ ὁ σπουδαῖος ἐπὶ τὰ κοινά, ὁπόταν
εἰδῇ καλῶς διακείμενα πρός τινων αὐτά, περὶ τού
τικὰ μὲν ὅπως ἡγήμενος, τὸ στρατηγεῖν, τὸ διδά
ζειν, τὸ πρεσβεύειν. Ἄριστα δ' ἐν πράξει μά
λ' ὡς ἐν ταύτῃ προηγύμενα τὰ περὶ νομοθεσίας
καὶ πολιτείας κατὰ σάσιν, καὶ παιδείαν νέων. Πρέ
πει δὲ ἐκ τῆς εἰρημένων τῷ Φιλοσόφῳ μηδαμῶ
τῆς θεωρίας ἀπολείπεσθαι· ἀλλ' ἀεὶ ταύτῃ ἐφέ
φειν, καὶ αὔξειν, εἰς ἐπόμενον δὲ τὸν πρακτικὸν
χωρεῖν βίον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁ Φιλόσοφος κατεγίνεται εἰς ξία, εἰς τιμὴ θε
είαν τῆς πραγμάτων, καὶ εἰς τιμὴν τῆς ἀθ
πράξιν, καὶ εἰς τιμὴν τῶ διαλέγεσθαι τέχνῃ

Ἡ δὲ τῶ Φιλοσόφου σπουδὴ κατὰ τὸν Πλάτω
ἐν ξυσίν ἐυκτὸν εἶναι· ἔστι τῇ τῆς ὄντ
γνώσει, καὶ ἐν τῇ πράξει τῇ καλῶν, καὶ ἐν αὐ
τῇ τῶ λόγω θεωρίᾳ. Καλεῖται δὲ ἡ μὲν τῆς ὄ
των γνῶσις θεωρητικὴ, ἡ δὲ περὶ τὰ πρακτ
πρακτικὴ, ἡ δὲ περὶ τὸν λόγον διαλεκτική. Δι
ρεῖται δὲ αὕτη εἴς τε τὸ διαιρετικὸν, καὶ τὸ ὁρι
στὸν, καὶ τὸ ἀπαγωγικὸν, καὶ τὸ συλλογιστικόν. Τ

τω δὲ εἰς τὸ ἀποδεικτικὸν, ὅπερ ἐστὶ περὶ τὸν ἀναγκαῖον συλλογισμὸν, καὶ εἰς τὸ ἐπιχειρηματικὸν, ὃ θεωρεῖται περὶ τὸν ἔνδοξον συλλογισμὸν, καὶ εἰς ῥῆτορικὸν, ὅπερ ἐστὶ περὶ τὸ ἐνθύμημα, ὃ καλεῖται ἁπλῶς συλλογισμός. Καὶ προσέτι τὰ σοφίσματα, ὅπερ προηγούμενον μὲν οὐκ ἂν εἴη τῇ Φιλοσόφῳ, ἀναγκαῖον δέ. Τῆς δὲ πρακτικῆς, τὸ μὲν θεωρεῖται περὶ τὴν τῶν ἠθῶν ἐπιμέλειαν, τὸ δὲ περὶ τὴν τῶν οἴκων προσταίαν, τὸ δὲ περὶ πόλιν, καὶ τὴν παύτης σωτηρίαν. Τούτων τὸ μὲν πρῶτον ἠθικὸν κέκληται, τὸ δὲ δεύτερον οἰκονομικὸν, τὸ δὲ λοιπὸν πολιτικόν. Τῆ δὲ θεωρητικῆ, τὸ μὲν περὶ τὰ ἀκίνητα, καὶ τὰ πρῶτα αἴτια, καὶ ὅσα θεῖα, θεολογικὸν καλεῖται· τὸ δὲ περὶ τὴν τῶν ἄστρων φορὰν, καὶ τὰς τούτων περιόδους, καὶ ἀποκαταστάσεις, καὶ τῶν τῆ τούτων τὴν σύστασιν, φυσικόν· τὸ δὲ θεωρούμενον διὰ γεωμετρίας, καὶ τῶν λοιπῶν μαθημάτων, Μαθηματικόν. Τῆς δὲ διαιρέσεως ταυτύπης ὔσης, καὶ τῆ μεσιτικῆ τῶν τῆς φιλοσοφίας εἰδῶν, περὶ τῆς φυσικῆς θεωρίας πρότερον ῥητέον τῆς ἀριστοτέλους τῶν Πλάτωνι· καὶ πρώτιστα περὶ κινήσεως.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆ Κριτικῆ, καὶ περὶ τῶν τῆς ψυχῆς δυνάμεων τῶν προσηκόντων τῇ κρίσει.

Ἐπεὶ δὲ ἐστί τι τὸ κριτὸν, ἔστι δὲ καὶ τὸ κρινόμενον, εἰη μὲ καὶ τὸ ἐκ τούτων ἀποτελέμενον, ὅπερ εἴποι πᾶτις ὑγιείας κρίσιν. Ὑγιείας μὲν δὲ τιὼ κρίσιν ὀνομάσαι πᾶτις κριτήριον, τοιοῦτον δὲ τὸ κριτὸν. Τοῦτο δὲ ἐστὶ διττόν· τὸ μὲν, ὑφ' ᾧ κρίνεται τὸ κρινόμενον, τὸ δὲ, δι' ὃ. Ὧν τὸ μὲν, εἰη αὖ ὁ ἐν ἡμῖν νοῦς· τὸ δὲ δι' ὃ, ὄργανον φυσικὸν κριτικὸν, προηγουμένως μὲν τῶν ἀληθῶν, ἐπομένως δὲ καὶ τῷ ψεύδους. Τοῦτο δὲ οὐκ ἄλλο ἐστὶν ἢ λόγος φυσικὸς, σαφέστερον δ' εἰπόντων. Κριτὴς μὲν δὴ λέγοιτο ὁ φιλόσοφος, ὑφ' οὗ τὰ πράγματα κρίνεται· Κριτὴς δὲ καὶ ὁ λόγος, δι' ὃ τὸ ἀληθὲς κρίνεται, ὃ καὶ ὄργανον ἔφαμεν εἶναι. Διττὸς δὲ ἐστιν ὁ λόγος, Ὁ μὲν γὰρ ἐστι παντελῶς ἀληπτός τε καὶ ἀτρεκὴς, ὁ δὲ κατὰ τὴν τῶν πραγμάτων γνῶσιν ἀδιάψευστος. Τούτων δὲ ὁ μὲν πρότερος, Θεῷ δυνατὸς, ἀνθρώπῳ δὲ ἀδύνατος. Ὁ δὲ δεύτερος καὶ ἀνθρώπῳ δυνατός. Διττὸς δὲ καὶ οὗτος. Ὁ μὲν περὶ τὰ νοητὰ, ὁ δὲ περὶ τὰ αἰσθητά. Ὧν ὁ μὲν περὶ τὰ νοητὰ, ἐπιστήμη τε ἐστὶ

καὶ

καὶ ἐπιστημονικὸς λόγος, ὁ δὲ περὶ τὰ αἰσθητὰ, δοξαστικός τε, καὶ δόξα. Ὅθεν ὁ μὲν ἐπιστημονικὸς τὸ βέβαιον ἔχει καὶ μόνιμον, ἅτε περὶ τῶν βεβαίων καὶ μονίμων ἀρχῶν· ὁ δὲ πιθανὸς καὶ δοξαστικὸς πολὺ τὸ εἰκὸς ἔχει τὸ μὴ περὶ τὰ μόνιμα εἶναι. Ἐπιστήμης δὲ τῆς περὶ τὰ νοητὰ, καὶ δόξης τῆς περὶ τὰ αἰσθητὰ ἀρχαὶ νόησίς τε καὶ αἴσθησις. Ἡ μὲν ἐν αἰσθήσει ἐστὶ πάθος ψυχῆς καὶ σώματος ἀπαγγελτικὸν προηγουμένως τῆς πεπονθυίας δυνάμεως, ὁπόταν ἐν τῇ ψυχῇ καὶ τῷ αἰσθητηρίῳ κατὰ τὴν αἴσθησιν τύπος ἐγγένηται, ὅπερ ἐστὶν αἴσθησις. Ἔνιοτε δέ τινος μὲν καὶ χρόνῳ πλήθος ἐξίπλεος γενόμενοι, ἀλλ' ἔμμονος καὶ σωζόμενος, ἡ τοιαύτη σωτηρία μνήμη καλεῖται. Δόξα δ' ἐστὶ σύμπλοκὴ μνήμης καὶ αἰσθήσεως. Ὁπόταν δὴ ἐντύχωμέν τινι πρώτῳ, καὶ ἀπ' αὐτοῦ αἴσθησις ἡμῖν γένηται, καὶ ἀπὸ ταύτης μνήμη, ἔπειτα ἐντύχωμεν τῷ αὐτῷ πάλιν αἰσθητῷ, τὴν προϋπομεσθεῖσαν μνήμην συνυπάρξασαν τῇ ἐκ δευτέρου γενομένῃ αἰσθήσει, καὶ ἐν ἑαυτοῖς λέγομεν φέρε, Σωκράτης, ἵππος, πῦρ, καὶ ὅσα τοιαῦτα. Καὶ τοῦτο καλεῖται δόξα, συνυπαρξάντων ἡμῖν τῶν προϋποκειμένων τῇ νεωστὶ γενομένῃ αἰσθήσει. Καὶ ὅταν μὲν συμφωνήσῃ ταῦτα καταλήλεκται γενόμενα, ἀληθὴς γίνεται δόξα· ὅταν δὲ παραλλάξῃ, ψευδής. Κ' ὃν ἔχωσις μνήμην Σωκράτης ἐντυχὼν Πλάτωνι, οὐκ-

αἰσθῇ κατά τινα ὁμοιότητα Σωκράτει πάλιν ἐντυγχάνειν, ἔπειτα τὴν ἀπὸ Πλάτωνος αἴσθησιν, ὡς ἀπὸ Σωκράτους, λαβὼν σωθεὶς ἤ ἔχει περὶ Σωκράτους μνήμη, ψευδὴς γίνεται δόξα. Ἐν ᾧ δὲ γίνεται ἡ μνήμη καὶ ἡ αἴσθησις, τούτῳ κυρίως ἐκμαγεῖον ὁ Πλάτων ἀπεικάζει. Ὅταν δὲ τὰ δοξασθέντα ἐξ αἰσθήσεως καὶ μνήμης ἀναπλάσασα ἡ ψυχὴ τῇ ἑαυτοῦ ἀποβλέπῃ φορὰ ταῦτα, ὥσπερ εἰς ἐκεῖνα, ἐφ' ὧν ἐγένετο, ἀναζωγράφησιν τὸ τοιοῦτο ὁ Πλάτων καλεῖ, ἔνθ' ὅπ δὴ καὶ φαντασίαν. Τὴν δὲ διάνοιαν φησὶ τὸν αὐτῆς πρὸς αὑτὴν διάλογον. Λόγον δὲ τὸ ἀπ' ἐκείνης ῥεῦμα διὰ τοῦ στόματος χωροῦν μετὰ φθόγγου. Νόησις δ' ἐστὶ νοῦ ἐνέργεια θεωροῦντος τὰ πρῶτα νοητά. Αὕτη δοκεῖ εἶναι· Ἡ μὲν, πρὸ τοῦ ἐν τῷδε τῷ σώματι γενέσθαι τὴν ψυχὴν θεωρήσης αὐτῆς τὰ νοητά· Ἡ δὲ μετὰ τὸ ἐμβιβασθῆναι εἰς τόδε τὸ σῶμα. Τέτων δὲ ἡ μὲν πρὸ τοῦ ἐν τῷ σώματι γενέσθαι τὴν ψυχὴν, αὐτὸ τοῦτο νόησις ἐκαλεῖτο· Γενομένης δ' αὐτῆς ἐν τῷ σώματι, ἡ τότε λεγομένη νόησις, νοῦ ἐλέχθη φυσικὴ ἔννοια, νόησίς τις ἅσα ἐναποκειμένη τῇ ψυχῇ. Ὅταν ἓν φῶμεν τὴν νόησιν ἀρχὴν εἶναι τῆς ἐπιστημονικῆς λόγου, μὴ τὴν νοῦ λεγομένην φαμέν· ἀλλὰ τὴν ὅπ χωρὶς τοῦ σώματος ἦν ἡ ψυχὴ, ἥτις, ὡς ἔφαμεν τότε μὲν νόησις ἐλέγετο, νοῦ δὲ φυσικὴ ἔννοια. Καλεῖται δὲ

ὑπὸ

ὑπ' αὐτῆ ἡ φυσικὴ σύνοια καὶ ἐπιστήμη ἁπλῆ, καὶ πτέρωμα ψυχῆς, ἔθ' ὅτε δὲ καὶ μνήμη. Ἐκ δὲ τῶν ἁπλῶν ὑσῶν ἐπιστημῶν ὁ φυσικὸς καὶ ἐπιστημονικὸς συνέστηκε λόγος, φύσει ἐνυπάρχων. Οὐκῆν ὄντος καὶ ἐπιστημονικῆ λόγυ, καὶ δοξαστικῆ, ἔστης δὲ καὶ νοήσεως, καὶ αἰσθήσεως, ἔστι καὶ τὰ τούτοις ὑποπίπτοντα, οἷον τὰ νοητὰ, καὶ αἰσθητά. Καὶ ἐπὶ τῆ νοητῆ τὰ μὲν πρῶτα ὑπάρχει ὡς αἱ ἰδέαι, τὰ δὲ δεύτερα ὡς τὰ εἴδη τὰ ἐπὶ τῆ ὕλη, ἀχώρετα ὄντα τῆς ὕλης. Καὶ νόησίς ἐστι διττή· Ἡ μὲν τῆ πρώτων, ἡ δὲ τῆ δευτέρων. Καὶ πάλιν ἐπὶ τῆ αἰσθητῆ ἐστὶ τὰ μὲν πρῶτα, ὡς αἱ ποιότητες, οἷον χρῶμα, λευκότης· τὰ δὲ, κατὰ συμβεβηκὸς, οἷον τὸ λευκὸν, τὸ κεχρωσμένον· μετὰ δὲ ταῦτα τὸ ἄθροισμα, οἷον πῦρ, μέλι. Οὕτω δὴ καὶ αἴσθησις, ἡ μὲν τις ἔσαι τῆ πρώτων, πρώτη λεγομένη, ἡ δὲ τῆ δευτέρων δευτέρα. Τὰ μὲν δὴ πρῶτα νοητὰ ἡ νόησις κρίνει, οὐκ αὖθ τῶ ἐπιστημονικῶ λόγυ, περιλήφει τινὶ, καὶ οὐ διεξόδῳ. Τὰ δὲ δεύτερα ὁ ἐπιστημονικὸς λόγος, οὐκ αὖθ νοήσεως. Τὰ δὲ πρῶτα αἰσθητὰ, καὶ τὰ δεύτερα ἡ αἴσθησις κρίνει, οὐκ αὖθ τῶ δοξαστικῶ λόγυ. Τὸ δὲ ἄθροισμα ὁ δοξαστικὸς λόγος οὐκ αὖθ τῆς αἰσθήσεως. Τῶ νοητῶ δὴ κόσμυ πρώτυ ὄντος νοητῶ, τῶ δ' αἰσθητῶ ἀθροίσματος, τὸν μὲν νοητὸν κόσμον κρίνει ἡ νόησις μετὰ λόγυ, τὸν δὲ οὐκ αὖθ

μὲν λόγου. Τὸν δὲ αἰσθητὸν, ὁ δοξαστικὸς λόγος μὴ μόνον αἰσθήσεως. Οὐσίας δὲ θεωρίας καὶ πράξεως, ὁ ὀρθὸς λόγος οὐχ ὁμοίως κεῖται τὰ τῇ θεωρίᾳ ὑποπίπτοντα, καὶ τὰ πρακτά. Ἀλλ' ὁ μὲν τῇ θεωρίᾳ ἐπισκοπεῖ τὸ ἀληθές, καὶ τὸ μὴ ἄπως ἔχον. Ἐν δὲ τοῖς πρακτικοῖς, τί τὸ οἰκεῖον, καὶ τί τὸ ἀλλότριον, καὶ τί τὸ πρακτόμενον. Τὸ γὰρ ἔχειν ἕξιν φυσικὴν καλῶς, καὶ ἀγαθῷ τῷ λόγῳ χρώμενον, καὶ ἀναφέροντες ἐπὶ τὰς φυσικὰς ἐννοίας ὡς ἐπὶ μίζαν τινὰ ἀφορισμόν, κείνομεν ἅπερ ἕκαστον ἔχει, οὕτω καὶ ἕτερος.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰ τῆς Διαλεκτικῆς καθήκοντα καὶ στοιχεῖα.

Τῆς διαλεκτικῆς δὲ στοιχειωδέστατον ἡγεῖται πρῶτον μὲν τὸ τῶν οὐσιῶν ἐπιβλέπειν παντὸς ὁτουοῦν· ἔπειτα περὶ τῶν συμβεβηκότων. Ἐπισκοπεῖ δὲ αὐτὸ μὲν ὅ ἐστιν ἕκαστον, ἢ ἁπλῶς διαιρετικῶς καὶ ὁριστικῶς, ἢ καθόλου ἀναλυτικῶς. Τὰ δὲ συμβεβηκότα καὶ τὰ ὑπάρχοντα ταῖς οὐσίαις, ἢ ἐκ τῶν περιεχομένων δι' ἐπαγωγῆς, ἢ ἐκ τῶν περιεχόντων διὰ συλλογισμοῦ. Ὡς κατὰ λόγον εἶναι τῆς διαλεκτικῆς, τὸ μὲν, διαιρετικὸν, τὸ δὲ, ὁριστικὸν, τὸ δὲ, ἀναλυτικόν· καὶ προστίθησι

ἔπειτα

ἐπαγωγικόν τι, ἢ συλλογιστικόν. Διαίρεσις μὲν τοίνυν ἐστὶν, ἡ μὲν γένους εἰς εἴδη τομή· ἡ δὲ, ὅλου εἰς μέρη· εἰς ἰωτὰ ἐτέμνομεν τὸν ψυχὸν εἴς τε τὸ λογικὸν, καὶ εἰς τὸ παθητικόν· καὶ αὖ πάλιν τὸ παθητικὸν εἴς τε τὸ θυμικὸν, καὶ τὸ ἐπιθυμητικόν. Ἡ δὲ, φωνῆς τομὴ εἰς σημαινόμενα, οἷς ὅταν τις καὶ ταυτὸν ὄνομα εἰς πλείω πράγματα ἔλκηται. Ἡ δὲ, συμβιβασμὸν εἰς ὑποκείμενα, οἷς ὅταν φῶμεν τὴν ἀγαθὸν, τὰ μὲν, περὶ ψυχὴν, τὰ δὲ, περὶ σῶμα, τὰ δὲ, ἐκτός. Ἡ δὲ, ὑποκειμένων εἰς συμβιβασμόν, οἷς ὅταν φῶμεν, τὴν ἀνθρώπων, τοὺς μὲν, ἀγαθοὺς εἶναι, τοὺς δὲ, κακούς, τοὺς δὲ, μέσους. Τῇ τοίνυν τῦ γένους πρῶτον εἰς εἴδη τομῇ χρῆσθαι δεῖ ὑπὲρ τῦ διαγινώσκειν αὐτῶ ἕκαστον, ὅ ἐστι κατὰ τὸν ὑσίαν, τίνο δὲ εἴδη ὄρα ὑπ' αὐ γένοιτο. Ὁ δὲ ὅρος ἐκ διαιρέσεως γενᾶται τῶν τοῦ ξόπου. Τὸ μέλλοντος ὅρου ὑποπίπτειν πράγματος δεῖ τὸ γένος λαβεῖν, οἷς τὸ ἀνθρώπε τὸ ζῶον· ἔπειτα τίνο τὸ μέσον κατὰ τὰς προσηκούσας διαφορὰς κατιόντας μέχρι τῆ εἰδῶν· οἷον εἰς λογικὸν, ἢ ἄλογον, ἢ θνητὸν, ἢ ἀθάνατον. Ὥστε εἰ συμπεθεῖτο αἱ προσηκοῦσαι διαφοραὶ τῆ γένει, τὸν ἐξ αὐτῆ ὅρον ἀνθρώπε γίνεσθαι. Ἀναλύσεως δὲ εἴδη ἐσὶ ξία. Ἡ μὲν γάρ ἐστιν ἀπὸ τῆ αἰσθητῆ ἐπὶ τὰ πρῶτα τοπικὴ ὁδός. Ἡ δὲ, ἀφ' ἧ ἐπιθυμούμεν, ἢ ὑποθετικὴ ὁδὸς

δος, ἐπὶ τὰς ἀναποδείκτους, καὶ ἀμέσους προτάσεις. Ἡ δὲ, ἐξ ὑποθέσεως ἀναῦσα ἐπὶ τὰς ἀναποδείκτους ἀρχάς. Ἡ μὲν δὴ πρώτη τοιάδε τις ἐστίν· οἷον αἱ ἀπὸ τῶν περὶ τὰ σώματα καλῶν μετίωμεν ἐπὶ τὸ ἐν ταῖς ψυχαῖς καλόν· ἀπὸ τούτου δὲ ἐπὶ τὸ ἐν τοῖς ἐπιτηδεύμασιν· εἶτα ἀπὸ τούτου ἐπὶ τὸ ἐν τοῖς νόμοις, εἶτ' ἐπὶ τὸ πολὺ πέλαγος τοῦ καλοῦ· εἶτα ὕστερον μετιόντες εὑρήσομεν λοιπὸν, τὸ αὐτὸ τοῦτο καλόν. Τὸ δεύτερον εἶδος τῆς ἀναλύσεως τοιοῦτό τι ἐστιν. Ὑποτίθεσθαι δεῖ τὸ ζητούμενον καὶ θεωρεῖν τίνα ἐστὶ πρότερα αὐτῷ, καὶ ταῦτα ἀποδεικνύειν ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρότερα ἀνιόντα, ἕως ἂν ἔλθωμεν ἐπὶ τὸ πρῶτον, καὶ ὁμολογούμενον. Ἀπὸ τούτου δὲ ἀρξάμενοι ἐπὶ τὸ ζητούμενον καταλυσόμεθα συνθετικῷ τρόπῳ· Οἷον ζητῶ, εἰ ἀθάνατός ἐστιν ἡ ψυχή· ὑποθέμενος αὐτὸ τοῦτο ζητῶ, εἰ ἀγένητος· καὶ τοῦτο ἀποδείξας ζητῶ, εἰ τὸ ἀγένητον, αὐτοκίνητον· καὶ πάλιν τοῦτο ἀποδείξας σκοπῶ, εἰ τὸ αὐτοκίνητον ἀρχὴ κινήσεως, εἶτα εἰ ἡ ἀρχὴ ἀγένητος. ὅπερ τίθεται ὡς ὁμολογούμενον τῷ ἀγενήτῳ, καὶ ἀφθάρτῳ ὄντος. Ἀφ' ἧς ἀρχόμενος, εὐαρμόστως ὄντως, συνθήσω τοιαύτην ἀπόδειξιν. Εἰ ἡ ἀρχὴ ἀγένητον, καὶ ἄφθαρτον, ἀρχὴ δὲ κινήσεως τὸ αὐτοκίνητον, τὸ αὐτοκίνητον δὲ ἡ ψυχή. Ἄφθαρτος ἄρα, καὶ ἀγένητος, καὶ ἀθάνατος ἡ ψυχή. Ἡ δὲ ἐξ ὑποθέσεως ἀναλυτικὴ τοιαύτη

Ὁ ζητῶν τί, ὑποτίθεται αὐτὸ ἐκεῖνο· εἶτα τῷ ὑποτεθέντι σκοπεῖ τί ἀκολουθεῖ· καὶ μετὰ τοῦτο εἰ δέοι λόγον ἀποδιδόναι τῆς ὑποθέσεως, ἄλλως ὑποθέμενος ὑπόθεσιν ζητεῖ, εἰ τὸ πρότερον ὑποτεθὲν, πάλιν ἐστὶν ἀνόλυθον ἄλλῃ ὑποθέσει. Καὶ τοῦτο, μέχρις οὗ ἐπί τινα ἀρχὴν ἀνυπόθετον, ἔλθοι ποιεῖ. Ἐπαγωγὴ δέ ἐστι πᾶσα ἡ διὰ λόγων μέθοδος· Ἢ ἀπὸ τοῦ ὁμοίου ἐπὶ τὸ ὅμοιον μετιοῦσα· Ἢ ἀπὸ τῆς καθέκαστα ἐπὶ τὰ καθόλου. Χρησιμωτάτη δὲ ἡ ἐπαγωγὴ εἰς τὸ ἀναχείνειν τὰς φυσικὰς ἐννοίας.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Τὸ τῆς προτάσεως, καὶ Διαλέξεως εἶδος.

Τοῦ δὲ λόγου, ὃν καλοῦμεν πρότασιν, δύο εἰσὶν εἴδη· τὸ μὲν, κατάφασις, τὸ δὲ, ἀπόφασις. Κατάφασις μὲν τὸ τοιοῦτον, Σωκράτης περιπατεῖ· ἀπόφασις δὲ τὸ τοιοῦτο, Σωκράτης οὐ περιπατεῖ· Τῆς δὲ ἀποφάσεως, καὶ καταφάσεως, ἡ μὲν ἐστι καθόλου, ἡ δὲ ἐπὶ μέρους. Ἐπὶ μέρους μὲν καταφατικὴ ἡ τοιαύτη. Τὶς ἡδονὴ ἀγαθόν. Ἀποφατικὴ δὲ ἡ τοιαύτη. Τὶς ἡδονὴ οὐκ ἀγαθόν. Καθόλου δὲ καταφατικὴ μὲν ἡ τοιαύτη, Παῦ τὸ αἰσχρὸν κακόν. Ἀποφατικὴ δὲ ἡ τοιαύτη. Οὐδὲν τῶν αἰσχρῶν ἀγα-

θόν. Τῶν δὲ προτάσεων αἱ μὲν καθολικαί εἰσιν, αἱ δὲ ὑποθετικαί. Καθολικαὶ μὲν ἁπλαῖ, οἷον, Παῦ δίκαιον καλόν. Ὑποθετικαὶ δέ εἰσιν αἱ ἀκολουθίαν δηλοῦσαι, ἢ μάχην. Χρῆται δὲ ὁ Πλάτων καὶ τῇ τῆς Συλλογισμῶν πραγματείᾳ, ἐλέγχων τε, καὶ ἀποδεικνύων· ἐλέγχων μὲν διὰ ζητήσεως τὸ ψεῦδος, ἀποδεικνύων δὲ διά τινος διδασκαλίας τὸ ἀληθῆ. Ἔστι δὲ ὁ Συλλογισμὸς λόγος, ἐν ᾧ τεθέντων τινῶν ἕτερόν τι τῶν κειμένων δι' αὐτῶν τῶν τεθέντων ἐξ ἀνάγκης συμβαίνει. Τῶν δὲ συλλογισμῶν οἱ μέν εἰσι καθολικοί· αἱ δὲ ὑποθετικοί· οἱ δὲ μικτοί. Ἐκ τῶν καθολικοὶ μὲν, ὧν καὶ τὰ λήμματα καὶ τὰ συμπεράσματα ἁπλαῖ ὑποθέσεις ὑπάρχουσιν. Ὑποθετικοὶ δὲ οἱ ἐξ ὑποθετικῶν προτάσεων. Μικτοὶ δὲ οἱ τὰ δύο συνειληφότες. Χρῆται δὲ ὁ αὐτὸς τοῖς μὲν ἀποδεικτικοῖς ἐν τοῖς ὑφηγητικοῖς διαλόγοις· τοῖς δὲ ἐνδόξοις πρὸς τοὺς σοφιστάς τε, καὶ τινας· τοῖς δὲ ἐριστικοῖς πρὸς τοὺς ἰδίως λεγομένους ἐριστικούς· οἷον Εὐθύδημον φέρε, καὶ Ἱππίαν. Τῶν δὲ καθολικῶν σχημάτων ὄντων τριῶν, καὶ τὸ μὲν πρῶτον, ἐν ᾧ ὁ κοινὸς ὅρος τὰ μὲν κατηγορεῖται, τῷ δὲ ὑπόκειται· τὸ δὲ β'. ἐν ᾧ ὁ κοινὸς ὅρος ἀμφοτέροις κατηγορεῖται· τὸ δὲ γ'. ἐν ᾧ ὁ κοινὸς ὅρος ἀμφοτέροις ὑπόκειται. Ὅρους δέ φαμι τὰ μέρη τῆς προτάσεως· οἷον ἐπὶ τῆς γῆς ὁ ἄνθρωπος ζῶον, τὸ

ἄνθρω-

ἀνθρωπος φαμὲν ἢ τὸ ζῶον. Καὶ κατὰ τὸ πρῶτον σχῆμα ἐρωτᾷ λόγως ὁ Πλάτων, ἢ κατὰ τὸ δεύτερον, ἢ τὸ τρίτον. Καὶ κατὰ μὲν τὸ πρῶτον ὅπως ἐν Ἀλκιβιάδῃ. Τὰ δίκαια καλά, τὰ καλὰ ἀγαθά, τὰ δίκαια ἄρα ἀγαθά. Κατὰ δὲ τὸ δεύτερον ὡς ἐν Παρμενίδῃ ὅπως. Ὃ μὴ ἔχει μέρη ὅτε δύο ἐστὶν ὅτε στρογγύλον, τὸ δὲ μετέχον σχήματος, ἢ δύο ἐστὶν ἢ στρογγύλον, ὃ ἄρα μὴ ἔχει μέρη, οὐδὲ σχήματος μετέχει. Κατὰ δὲ τὸ τρίτον ὅπως ἐν τῇ αὐτῇ βιβλίῳ. Τὸ μετέχον σχήματος ποιόν ἐστι, τὸ μετέχον σχήματος πεπερασται, τὸ ἄρα ποιὸν πεπερασται. Τὰς δὲ ὑποθετικὰς ἐν πολλοῖς βιβλίοις εὑρήσομεν ἐρωτωμένας ὑπ' αὐτοῦ, μάλιστα δὲ ἐν τῷ Παρμενίδῃ τοιούτους εὕρομεν αὐτῶ λόγως. Εἰ μὴ ἔχει μέρη τὸ ὅλον, ὅτε ἀρχὴν, ὅτε μέσον, ὅτε πλευτὴν ἔχει. Εἰ μήτε ἀρχὴν, μήτε μέσον, μήτε πλευτὴν ἔχει, οὐδὲ πέρας ἔχει. Εἰ μὴ ἔχει πέρας, οὐδὲ σχήματος μετέχει. Εἰ ἄρα μὴ ἔχει μέρη τὸ ὅλον, οὐδὲ σχήματος μετέχει. Κατὰ δὲ τὸ δεύτερον ὑποθετικὸν σχῆμα, ὃ οἱ πλείστοι τρίτον φασὶ, καθ' ὃ ὁ κοινὸς ὅρος ἀμφοτέροις τοῖς ἄκροις ἕπεται, ὅπως ἐρωτᾷ. Εἰ μὴ ἔχει μέρη τὸ ὅλον, ὅτε δύο ἐστὶν ὅτε στρογγύλον, εἰ μετέχει σχήματος, ἢ δύο ἐστὶν ἢ στρογγύλον, εἰ ἄρα μὴ ἔχει μέρη, οὐ μετέχει σχήματος. Καὶ μὴν καὶ κατὰ τὸ τρίτον σχῆμα πρός τινων δὲ δεύτερον, καὶ

ὁ κοινὸς ὅρος ἀμφοτέρων ἡγεῖται, ἐν τῷ Φαίδωνι ὅπως ἐρωτᾷ δυνάμει. Εἰ λαβόντες τινὰ τῶν ἴσα ἐπίστασθαι μὴν οὐκ ἐπιλελήσμεθα, ἐπίσαμεθα, εἰ δὲ ἐπιλελήσμεθα, ἀναμιμνησκόμεθα. Καὶ τῶν μικτῶν δὲ μέμνηται, τῶν μὲν ἐξ ἀκολουθίας κατασκευαστικῶν ὅπως. Εἰ τὸ σὺν ὅλον ἐστὶ, καὶ τὸ περιεχόμενον, τοῦτο ἀρχὴν, καὶ μέσον, καὶ τελευτὴν ἔχον, καὶ σχήματος μετέχει. Τὸ δὲ ἡγούμενον, τὸ ἀρα λῆγον. Τῶν δὲ ἐξ ἀκολουθίας ἀναστρεπτικῶν, ὅπως τὰς διαφορὰς κατὰ τοῦτο θεωρεῖσθαι. Ὅταν ἔν τις ἀπειβῶς κατίδῃ τὰς τῆς ψυχῆς δυνάμεις, καὶ τὰς τῶν ἀνθρώπων διαφορὰς, καὶ τὰ εἴδη τῶν λόγων, ἃ προσαρμόζοντα τῇδε ἢ τῇδε τῇ ψυχῇ οἰκείως τε αἰσθάνεται καὶ οἵοις ὑποτίνων λέγων, καὶ οἵοις πείθεσθαι δύναται· ἅτος εἰ προσλάβοι καὶ τὸν καιρὸν τῆς χρήσεως τὸν προσήκοντα, τελέως ἔσαι ῥήτωρ. Καὶ ἡ ῥητορικὴ αὐτῷ δικαίως ἂν λέγοιτο ἐπιστήμη τοῦ εὖ λέγειν. Καὶ τὴν τῶν σοφισμάτων δὲ μέθοδον εὕρομεν ἂν ὑπὸ τοῦ Πλάτωνος ὑπογεγραμμένην ἐν τῷ Εὐθυδήμῳ, εἰ ἀκριβῶς ἐντύχοιμεν τῷ βιβλίῳ. Ὥστε ἐν αὐτῷ ὑποδεδεῖχθαι τίνα μὲν παρὰ τινὰ φωνήν ἐστιν σοφίσματα· Τίνα δὲ παρὰ τὰ πράγματα, καὶ τὰς λύσεις αὐτῶν. Καὶ μὴν τὰς δέκα κατηγορίας ἔντε τῷ Παρμενίδῃ καὶ τοῖς ἄλλοις ὑποδέδειχε. Τὸν ἐτυμολογικόντε τύπων ὅλον ἐν τῷ Κρατύλῳ διεξέρχεται. Ἁπλῶς τε ἱκανώτατος ὁ

ἀνὴρ

ἀνὴρ καὶ θαυμαστὸς τῆς τε ὁρισικῆς, καὶ διαιρετικῆς πραγματείας. Αἷ πᾶσαι δεικνύουσι μάλιστα τὴν δύναμιν τῆς διαλεκτικῆς. Τὰ δὲ ἐν τῷ Κρατύλῳ τοιοῦτον ἔχει τὸν τρόπον. Ζητεῖ γὰρ πότερον φύσει τὰ ὀνόματά ἐστιν ἢ θέσει. Ἀρέσκει δὲ αὐτῷ θέσει ὑπάρχειν τὴν ὀρθότητα τῶν ὀνομάτων, οὐ μὴν ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ὥστε τὴν θέσιν γενέσθαι ἀπολουθον τῇ τοῦ πράγματος φύσει· μὴ γὰρ ἄλλο τὴν ὀρθότητα εἶναι τοῦ ὀνόματος, ἢ τὴν σύμφωνον τῇ φύσει τοῦ πράγματος θέσιν. Μήτε γὰρ τὴν θέσιν τὴν ὁποιανοῦν ποτε τοῦ ὀνόματος αὐτάρκη αὖ εἶναι καὶ ἀποχρῶσαν πρὸς ὀρθότητα, μήτε τὴν φύσιν, καὶ τὴν πρώτην ἐκφώνησιν, ἀλλὰ τὸ ἐξ ἀμφοῖν. Ὥστε εἶναι παντὸς ὀνόματος κατὰ τὸ οἰκεῖον τῇ τοῦ πράγματος φύσει κείμενον. Οὐ γὰρ δήπου αἱ τὸ τυχὸν τῷ τυχόντι τεθῇ, σημανεῖ τὸ ὀρθὸν, οἷον Ἵππον εἰ θείμεθα ἄνθρωπον ὄνομα. Καὶ γάρτοι τὸ λέγειν μία δήτις ἐστὶ τῶν πράξεων. Ὥστε καὶ ὅπως δήποτε λέγων, ὀρθῶς αὖ λέγοι, ἀλλ' εἰ ὅπως λέγοι, ἢ τὰ πράγματα πέφυκεν. Ἐπεὶ δὲ τοῦ λέγειν μέρος ἐστὶ τὸ ὀνομάζειν, ὡς καὶ τοῦ λόγου μέρος τὸ ὄνομα, τὸ ὀρθῶς καὶ μὴ ὀρθῶς ὀνομάζειν οὐ κατὰ θέσιν ὁποιανοῦν μόνοιτο αὖ, ἀλλὰ κατὰ τὴν φυσικὴν τοῦ ὀνόματος οἰκειότητα πρὸς τὸ πρᾶγμα. Καὶ ἔτος αὖ εἴη ὀνοματοθέτης ἄριστος, ὁ σημαίνων δι' ὀνόματος τὴν φύσιν τοῦ πράγματος.

τος. Ἔτι γὰρ τὸ ὄνομα ὄργανον πράγματος οὐχ ὃ ἔτυχεν, ἀλλὰ τὸ κατάλληλον τῇ φύσει, ᾗ διὰ τούτου διδάσκομεν ἀλλήλους τὰ πράγματα, ᾗ διακρίνομεν αὐτά, ὥστε εἶναι τὸ ὄνομα διδασκαλικόντι, καὶ διακριτικὸν τῆς ἐκάστου οὐσίας ὄργανον. Ὡς ἡ κερκὶς τοῦ ὑφάσματος. Περὶ τὸ διαλεκτικὸν δὴ καὶ τοῦτο ὑπάρξει τὸ τοῖς ὀνόμασιν ὀρθῶς χρῆσθαι. Ὡς γὰρ κερκίδι χρήσαιτ' ἂν ὑφαντικὸς ἀνὴρ εἰδὼς αὐτῆς τὸ προσῆκον ἔργον, τέκτονος αὐτὴν δημιουργήσαντος· οὕτω καὶ ὁ διαλεκτικὸς ὀνοματοθέτου θεσέως τυχόντα, χρήσαιτ' ἂν αὐτῷ κατὰ τρόπον, καὶ προσφόρως. Καὶ γὰρ τοῦ τέκτονος μὲν τὸ ποιῆσαι πηδάλιον, κυβερνήτου δὲ τὸ χρήσασθαι καλῶς· οὕτω γάρ τοι καὶ αὐτὸς ὁ ὀνοματοθέτης καλῶς ἂν χρήσαιτο τῇ θέσει, εἰ ὡς διαλεκτικοῦ παρόντος ποιοῖτο τὴν θέσιν, τὴν φύσιν ὑπὸ ὑποκειμένων ἐπισκοπῶν. Τὸ μὲν δὴ διαλεκτικὸν ἐπὶ τοσοῦτον ὑπογεγράφθω.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Διαίρεσις τῆς θεωρητικῆς ἐπιστήμης.

Ἐξῆς δὲ περὶ τοῦ θεωρητικοῦ λέγωμεν. Τῶν τοίνυν τὸ μὲν, εἰπομεν εἶναι θεολογικὸν, τὸ δὲ φυσικὸν, τὸ δὲ μαθηματικόν. Καὶ ὅτι τὸ

μὲν

μὲν θεολογικῆ τέλος ἡ περὶ τὰ πρῶτα αἴτια, καὶ ἀνωτάτω τε καὶ ἀρχικὰ γνῶσις. Τῆ δὲ φυσικῆ τὸ μαθεῖν τίς ποτ' ἐστὶν ἡ τοῦ παντὸς φύσις. Καὶ οὗτον τί ζῶον ἄνθρωπος, καὶ τίνα χώραν ἐν κόσμῳ ἔχων, καὶ εἰ θεὸς προνοεῖ τῶν ὅλων, καὶ εἰ ἄλλοι θεοὶ παγμένοι ὑπὸ πέτρῳ, καὶ τίς ἡ τῶν ἀνθρώπων πρὸς τοὺς θεοὺς σχέσις. Τῆ δὲ μαθηματικῆ τὸ ἐπιστρέφεσθαι τοῦ ἐπιπεδόντε καὶ τειχῆ διεσπεῖσθαι φύσιν· περί τε κινήσεως καὶ φορᾶς ὅπως ἔχει. Προκείσθω δὲ ἡ τοῦ μαθηματικοῦ θεωρία ἐπὶ τεφαλαίων. Λεῖπε τοίνυν καὶ πρὸς ἐξύπνιε διανοίας παρελήφθη ὑπὸ τοῦ Πλάτωνος θήγουσα τοῦ ψυχήν, καὶ πρὸς ἐπίσκεψιν τῶν ὄντων ἀκείβειαν παρεχομένη. Τό, τε περὶ τὰς ἀειθμὰς ἐν μέσον τῆ μαθηματικῆ ἡ ἐχ' ἥν ἔτυχεν οἰκειότητα ἐμποιεῖ πρὸς τοῦ τῶ ὄντος ἐπάνοδον, ἀλλὰ σχεδόντι πᾶς περὶ τὰ αἰσθητὰ πλάνης, καὶ ἀγνοίας ἀπαλλάττει ἡμᾶς συνεργῶν πρὸς τοῦ τῆς ὑσίας γνῶσιν· πρός τε πολέμιος οὐδὲν ὑπάρχει διὰ τοῦ τῶν παντικῶν θεωρίαν. Τόγε μὴν κατὰ τοῦ Γεωμετρίαν ἐπιπδειότατον καὶ αὐτὸ πρὸς τοῦ τῶ ἀγαθῶ γνῶσιν· ὅταν γάρις μὴ πράξεως ἕνεκεν μετίῃ Γεωμετρίαν, ἀλλὰ προσχρώμενος αὐτῆ ὡς ἐπὶ τὸ ὂν ἀεὶ αἰρένει· καὶ μὴ διατείβειν περὶ τὸ γινόμενον καὶ ἀπολλύμενον. Καὶ μὴν ἥτε Στερεομετρία χρησιμωτάτη· Μετὰ γὰρ τοῦ δευτέραν σύξιγτο ἀνά-

ἀκόλουθος ἡ κατ' αὐτὴν θεωρία τελείαν αὔξησιν ἔ-
χουσα. Χρήσιμον δὲ ὥσπέρτι τέπαρτον μάθημα
καὶ ἡ Ἀστρονομία, καθ' ἣν ἐν τῷ ὑρανῷ θεασόμε-
θα ἄστρωντε φορὰς, καὶ ὑρανὸν, καὶ τὸν δημιυργὸν
νυκτὸς καὶ ἡμέρας, μινώντε καὶ ἐναυτῶν, ἐξ ὧν
καπάτινα οἰκείαν ὁδὸν καὶ τὸν ἀπάντων δημιυργὸν
ζητήσομεν, μετιόντες ἀπὸ τέτων τῷ μαθημάτων,
ὥσπέρτινος ὑποβάθρας, καὶ στοιχείων. Καὶ μυ-
σικῆς δὲ ἐπιμελησόμεθα, ἐπὶ τὰ αὐτὰ τιὼ ἀκοὴν
φέροντες. Ὥσπερ γὰρ πρὸς ἀστρονομίαν ὄμματα
συνέσηκεν, ὕπως ἀκοὴ πρὸς τὸ ἐναρμόνιον. Καὶ
ὥσπερ ἀστρονομία τὸν νῦν προσέχοντες, ἀπὸ τῷ
ὁρωμένων ἐπὶ τιὼ ἀόρατον καὶ νοητὴν ὑσίαν πυδηγύ-
μεθα· οὕτω καὶ τῆς ἐναρμονίυ φωνῆς καπακύοντες,
ἀπὸ τῷ ἀκυσῶν ἐπὶ τὰ αὐτῷ τῷ νῷ θεωρύμενα
καπὰ ταῦτα μεταβαίνομεν. Ὡς εἰ μὴ ὕπω μετίου-
μεν ταῦτα τὰ μαθήματα, ἀτελής τε καὶ ἀνόητος καὶ
ἀδενὸς λόγυ ἀξία ἡ περὶ τέτων σκέψις γένοιτ' ἂν
ἡμῖν. Δεῖ γὰρ ὀξέως ἀπὸ τῷ ὁρατῶν, καὶ ἀπὸ
τῷ ἀκυσῶν μεταβαίνειν ἐπ' ἐκεῖνα, ἃ ἔσιν ἰδεῖν
μόνῳ τῷ τῆς ψυχῆς λογισμῷ. Ἔσι γὰρ ἡ τῷ
μαθημάτων ἐπίσκεψις, ὡς αὖ προοίμιόντι πρὸς
τὴν τῷ ὄντων θεωρίαν. Ἐφιέμεναι γὰρ τὲ ὄντος
λαμβάνεθαι, Γεωμετρείαπε, καὶ Ἀριθμητικὴ καὶ οἱ
ταύταις ἑπόμενοι, ὀνειρώττυσι μὲν περὶ τὸ ὄν,
ὕπερ δὲ αὐτὸ ἀδύρατῶσιν ἰδεῖν, ἀγνοῦσαι τὰς πε

ἀρχὰς

ἀρχὰς καὶ τὰ ἐκ τῶν ἀρχῶν συγκείμενα. Οὐδὲν δὲ ἧττον χρησιμώτατοι ἔσται τυγχάνουσι περὶ τὰ εἰρημένα. Ὅθεν καὶ ἐπιστήμας ταύτας τὰ μαθήματα ἔφησεν ὁ Πλάτων. Ἡ μέν τοι διαλεκτικὴ μέθοδος ἀπὸ τῆς Γεωμετρικῶν ὑποθέσεων ἐπὶ τὰς πρώτας καὶ ἀρχικὰς καὶ ἀνυπόθετα ἀνιέναι πέφυκεν. Ὅθεν τοῖς μὲν διαλεκτικοῖς ἐπιστήμην προσεῖπε. Τὰ δὲ μαθήματα ὑπὸ δόξαν, διὰ τὸ ἐναργέστερα εἶναι τῶν αἰσθητῶν· οὔτε ἐπιστήμην, διὰ τὸ ἀμυδρότερα εἶναι τῆς πρώτων νοητῶν. Ἀλλὰ δόξαν μὲν τῆς σωμάτων φησὶν· ἐπιστήμην δὲ τῆς πρώτων· διάνοιαν δὲ τῆς μαθημάτων. Τίθεται δέ τι καὶ πίστιν, καὶ εἰκασίαν. Τέτων δὲ τὴν μὲν πίστιν τῶν αἰσθητῶν, τοῖς δὲ εἰκασίαν τῆς εἰκόνων, καὶ εἰδῶν. Ἐπεὶ δὲ ἡ διαλεκτικὴ ἰσχυρώτατον τῆς μαθημάτων, ἅτε καὶ περὶ τὰ θεῖα, καὶ βέβαια γινομένη· διὰ τοῦτο καὶ ἀνωτέρω τῆς μαθημάτων τάττεται· Ὥσπερ θεωρός τις ὑπάρχουσα, καὶ φυλακὴ τῆς λοιπῶν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς πρώτης Τ'λης.

Μετὰ δὲ ταῦτα ἐπομένως περὶ τῆ ἀρχῶν καὶ θεολογικῶν λέγωμεν θεωρημάτων, ὅτωθεν ἀπὸ τῶν πρώτων ἀρχόμενοι, καὶ ἀπ' αὐτῶν κατιόντες, καὶ ἐπισκοποῦντες τὴν τῦ κόσμυ γένεσιν· τελευτῶντες δὲ εἰς ἀνθρώπων γένεσιν, καὶ φύσιν. Καὶ πρῶτόν γε περὶ ὕλης λέγωμεν. Ταύτην τοίνυν ἐκμαγεῖόν τε, καὶ τιθήνην καὶ μητέρα καὶ χώραν ὀνομάζει. Καὶ ὑποκείμενον ἀντὸν μετὰ ἀναισθησίας καὶ νόθῳ λογισμῷ λαμβάνον. Ἰδέαν δὲ ἔχειν τοιαύτην, ἧς τὰ πάθη γένεσιν ὑποδέχεσθαι, τιθήνης λόγον ἐπέχοντα τῷ φέρειν αὐτάς. Καὶ ἀναδέχεσθαι μὲν αὐτὴν πάντα τὰ εἴδη· αὐτὴν δὲ καθ' αὑτὴν ἄμορφόν τε ὑπάρχειν, καὶ ἄποιον, καὶ ἀνείδεον. Ἀναματτομένην δὲ τὰ τοιαῦτα καὶ ἐκτυπωμένην καθάπερ ἐκμαγεῖον, καὶ σχηματιζομένην ὑπὸ τῦτων, μηδὲν ἴδιον σχῆμα ἔχειν, μηδὲ ποιόν τι. Οὐ γὰρ γένοιτ' ἂν τι εὖ παρεσκευασμένον πρὸς ποικίλας ἐκτυπώσεις, καὶ μορφάς, εἰ μὴ ἄποιον αὐτὸ ὑπάρχοι, καὶ ἀμίμητον ἐκείνων τῶν εἰδῶν, ἃ δεῖ αὐτὸ δέχεσθαι. Ὁρῶμεν δὲ καὶ τοῦτο τὰ ἀλείμματα ἐξ ἐλαίυ κατα-

σκευά-

ἐκδαίζοντας τὰ εἴδωλα, διεσμυτέρῳ τέτῳ χρωμένους, καὶ τὰς μορφὰς δημιουργεῖν βελομένους, ἐκ χηρὸς ἢ πηλοῦ προλεαίνοντας ταῦτα, καὶ ὡς ἐνδέχεται ἀσχημάτιστα παρέχοντας. Προσήκει δὲ καὶ τῇ παθητικῇ ὕλῃ, εἰ μέλλοι κατὰ παῦ δέχεσθαι τὰ εἴδη, μηδεμίαν αὐτῶν φύσιν ἔχειν ὑποκειμένην, ἀλλ' ἄποιόν τε εἶναι καὶ ἀνείδεον πρὸς ὑποδοχὴν τῶν εἰδῶν. Τοιαύτη δ' ἔσται, ἔτε σῶμα ἂν εἴη, ἔτε ἀσώματον, δυνάμει δὲ σῶμα, ὡς καὶ τὸν χαλκὸν ὑπακέομεν δυνάμει ἀνδριάντα, διότι τὸ εἶδος δεξάμενος ἀνδριὰς ἔσαι.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἰδεῶν, καὶ τῆς ποιητικῆς αἰτίας.

Ἀρχικὸν δὲ λόγον ἐπεχούσης τῆς ὕλης, ἔτι καὶ ἄλλας ἀρχὰς παραλαμβάνει, τήν τε παραδειγματικὴν, τυτέστι τῶν τῶν ἰδεῶν· καὶ τῶν τὸ πατρὸς καὶ αἰτίε πάντων Θεῦ. Ἔστι δὲ καὶ ἡ ἰδέα, ὡς μὲν πρὸς Θεὸν, νόησις αὐτῦ· ὡς δὲ πρὸς ἡμᾶς, νοητὸν πρῶτον· ὡς δὲ πρὸς τὴν ὕλην, μέτρον· ὡς δὲ πρὸς τὸν αἰσθητὸν κόσμον, παράδειγμα· ὡς δὲ πρὸς αὐτὸν ἐξεταζομένην, ἐσία. Καθόλε γὰρ παῦ τὸ γινόμενον κατ' ἐπίνοιαν πρός τι ὀφείλει γίνεσθαι. Οὗ ὥσπερ γὰρ

εἰ

νὶ ἀπό τινός τι γίνοιτο, ὡς ἀπ' ἐμοῦ ἡ ἐμὴ ε
δεῖ τὸ παράδειγμα πρὸ ποκεῖθαι. Εἴτε κὴ
ἔξω τὸ παράδειγμα πάντ παάντως ἕκαστον ὁ
τῷ τὸ παράδειγμα ἴχον τῶν τεχνιτῶν τὴν
μορφὴν τῇ ὕλῃ περιτίθησιν. Οἱ εἴζονται δὲ
ἰδέαν παράδειγμα τῆ κατὰ φύσιν αἰώνιον.
τε γὰρ τοῖς πλείοσις τῆ ἀπὸ Πλάτωνος ἀρ
τῶν τεχνιτῶν εἶναι ἰδέας, οἷον ἀσπίδος, ἢ
ρας. Οὔτε μὴν τῆ παρὰ φύσιν, οἷον πυρ
κὴ χολέρας. Οὔτε τῆ κατὰ μέρος, οἷον Σε
τας, κὴ Πλάτωνος. Ἀλλ' οὐδὲ τῶν ἀτελῶν
οἷον ῥύπε κὴ κάρφες. Οὔτε τῶν πρός τι, οἷο
ζονος, κὴ ὑπερέχοντος. Εἶναι γὰρ πὰς ἰδέα
σεις Θεῷ αἰωνίως τε κὴ αὐτοτελεῖς. Ὅτι δὲ
αἱ ἰδέαι, κὴ ἔπω παραμυθοῦνται. Εἴτε γὰ
ὁ Θεὸς ὑπάρχει, εἴτε νοερὸν, ἔσιν αὐτῷ νο
πε, κὴ ταῦτα αἰώνιά τε κὴ ἄτρεπτα. Εἰ δ
το, εἰσὶν αἱ ἰδέαι. Καὶ γὰρ εἰ ἄμετρος ὑπ
ἡ ὕλη κατὰ τὸν ἑαυτῆς λόγον, παρ' ἑτέρ
κρείττονος κὴ αὐλε τῶν μέτρων ὀφείλει τυγχ
Τὸ δὲ ἡγεμονικὸν, τὸ ἄρα λῆγον. Εἰ δὲ τ
εἰσὶν αἱ ἰδέαι, μέτρα τινὰ ἄῦλα ὑπάρχ
Ἔτι γε μὴν, εἰ ὁ κόσμος μὴ ἐκ ταυτομάτε
πός ἐσιν, ἀ μόνον ἔκ τινός ἐσι γεγονὼς, ἀλ
ὑπό τινος, κὴ ἀ μόνον τῦτο, ἀλλὰ κὴ πρό
Τῷ δὲ πρός ὃ γέγονε, τί αὖ ἄλλο γέγονεν, ἢ

εἶεν αὖ ἰδέαι. Ἀλλὰ μὴν καὶ εἰ νοῦς διαφέρει τῆς ἀληθοῦς, καὶ τὸ νοητὸν ἦν τοῦ δοξαστοῦ διαφορον. Εἰ δὲ τοῦτο, ἔστι νοητὰ ἕτερα τῶν δοξαστῶν. οὐκ εἴη αὖ καὶ πρῶτα νοητά, ὡς καὶ πρῶτα αἰσθητά. τὰ δὲ τοῦτο, εἰσὶν αἱ ἰδέαι. Ἀλλὰ μὴν διαφέρει τοῦ δόξης ἀληθοῦς· Ὥστε εἶεν αὖ αἱ ἰδέαι.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τίνι τρόπῳ περιγράφηται ὁ Θεὸς, καὶ ποίοις λόγοις ἐξηρθρώνηται.

Τὴν δὲ περὶ τῆς πρώτης ἀρχῆς ποιητέον τὸν λόγον, ὡς μικρὰ δεῖν καὶ ἄρρητον ποιεῖται Πλάτων. Ἐπαχθείημεν δ' αὖ περὶ αὐτῆς τοῦτον τρόπον. Εἰ ἔστι νοητὰ, ταῦτα δὲ ἔστι αἰσθητά ἐστιν, ἔστι μετουσία τῶν αἰσθητῶν, ἀλλὰ πρώτων ὧν τῶν νοητῶν, ἔστι πρῶτα νοητὰ ἁπλᾶ, ὡς καὶ πρῶτα αἰσθητά. Τὸ δ' ἡγεμονικὸν, τὸ ἄρα λῆγον. Θρῶποι μὲν δὴ, ἅτε τὰς τῆς αἰσθήσεως πάθυς πεπλάμενοι, ὥστε καὶ ὁπότε νοεῖν προαιροῖντο τὸν, ἐμφανταζόμενον ἔχειν τὸ αἰσθητὸν, ὡς καὶ μέθος συνεπινοεῖν, καὶ χρῆμα, καὶ χρῶμα, πολλάκις καθαρῶς τὰ νοητὰ νοοῦσι. Οἱ δὲ ἀπηλλαγμένως τῶν αἰσθητῶν, εἰλικρινῶς τε, καὶ ἀμιγῶς. περὶ δὲ ψυχῆς νῦς ἀμείνων, νοῦ δὲ τὸ ἐν δυνάμει κατὰ

κατ' ἐνέργειαν πάντα νοῦν, καὶ ἅμα, καὶ ἀεί,
ὁ δὲ καλλίων ὁ αἴτιος τούτου, καὶ ὅπερ αὖ ἐστι
τέρων τούτων ὑφίστησιν, ἵνα τος αὖ εἴη πρῶτος Θ
αἴτιος ὑπάρχων τοῦ ἀεὶ ἐνεργεῖν τῷ νῷ τὸ ο
παντὸς οὐρανοῦ. Ἐνεργεῖ δὲ ἀκίνητος αὐτὸς ὢν
τοῦτον, ὡς καὶ ὁ ἥλιος οἷς τινὶ ὁράσιν, ὅταν
τῷ προσβλέπῃ. Καὶ ὡς τὸ ὀρεκτικὸν κινεῖ τὸ
ρεξιν ἀκίνητον ὑπάρχον, οὕτως δὴ καὶ ὁ πρ
νοῦς κινήσει τὸν μὲν τοῦ παντὸς οὐρανοῦ. Ἐπε
ὁ πρῶτος νοῦς κάλλιστος, δεῖ καὶ κάλλιστον αὐτῷ
τὸν ὑποκεῖσθαι· Οὐδὲν δὲ ἑαυτοῦ κάλλιον· Ε
τὸν αὐτὸν καὶ τὰ ἑαυτοῦ νοήματα ἀεὶ νοοίη.
αὐτοῦ ἡ ἐνέργεια αὐτοῦ ἰδία ὑπάρχει. Καὶ μι
πρῶτος Θεὸς ἀΐδιός ἐστιν, ἄῤῥητος, αὐτοτελὴ
ἀπροσδεὴς, ἀειτελὴς, πάσιν ἀεὶ τέλεια
παντελὴς, πᾶσι παῦτα τέλειος, θειότης,
σιότης, ἀλήθεια, συμμετρία, ἀγαθόν. Λ
δὲ ἐχ' ὡς θεῖζειν πᾶσα, ἀλλ' ὡς κατὰ παύτ
τὸς νοουμένης. Καὶ ἀγαθὸν μέν ἐστι, διότι πα
εἰς δύναμιν ἐνεργητικῆ, παντὸς ἀγαθοῦ αἴτιος.
Καλὸν, δὲ ὅτι αὐτὸς τῇ φύσει πλέον ἐστὶ, καὶ σ
μετρον. Ἀλήθεια δὲ, διότι πάσης ἀληθείας
καὶ ὑπάρχει, ὡς ἥλιος παντὸς φωτός. Παντὸ
ἐστι τῷ αἴτιος εἶναι παῦτα, καὶ κοσμεῖν τὸν κ
σιον νοῦν· καὶ τινὶ ψυχικῇ τῇ κόσμῳ πρὸς ἑαυ
καὶ πρὸς πᾶς ἑαυτοῦ νοήσεως. Κατὰ γὰρ τινὶ ἑα

βλησιν, ἐμπέπλεκε παντα ἑαυτῷ, τῳ ψυχῳ
ῷ κόσμῳ ἐπεγείρας, καὶ εἰς ἑαυτὸν ἐπιστρέψας
ῷ νῷ αὐτῆς αἴτιος ὑπάρχων, ὃς κοσμηθεὶς ὑπὸ
ῷ Πατρὸς, διακοσμεῖ σύμπασαν φύσιν ἐν τῷδε τῷ
όσμῳ. Ἀρρήτως δέ ἐστι καὶ νῷ μόνῳ λεπτὸς ὡς
ῥηται, ἐπεὶ ὥτε γένος ἐστὶν, ὥτε εἶδος, ὥτε δια-
φορὰ, ἀλλ' ἁδὲ συμβέβηκέτι αὐτῷ, ὥτε κακόν·
ὲ δὴ θέμις τῶτο εἰπεῖν, Οὔτε ἀγαθόν· κατὰ με-
χῳ γάρ τινος ἔσαι ὥτος, καὶ μᾶλλον ἀγαθότητος.
ὔτε διαφορά· οὐδὲ γὰρ τῶτο κατὰ τῳ ἑνοειδεῖ
υτῷ. Οὔτε ποιόν· οὐ γὰρ ποιωδές ἐστι, καὶ ὑπὸ
οιότητος τοιῶτον ἀπεστιλεσμένον. Οὔτε ἄποιον·
ὐ δὲ ἐστέρηται τινος ἐπιβεβλῆσθαι αὐτῷ ποιῦ. Οὔ-
ε μέρος τινός. Οὔτε ὡς ὅλον ἔχον τινὰ μέρη.
ὔτε ὥστε ταυτόν τι εἶναι ἢ ἕτερον. Οὐδὲν γὰρ αὐ-
ῷ συμβέβηκε καθ' ὃ δύνασαι τῷ ἄλλων χωρισθῆ-
αι. Οὔτε κινεῖ, ὥτε κινεῖται. Ἔσαι δὴ πρώτη
ου αὐτῷ νόησις ἡ κατ' ἀφαίρεσιν τῶτων, ὅτι καὶ
ημεῖς ἐνοήσαμεν κατ' ἀφαίρεσιν ἀπὸ τῶ αἰδητῶ,
τιφανέσαν ποιήσαντες, εἶτα γραμμικῷ, καὶ πλά-
ιον τὸ σημεῖον. Δευτέρα δέ ἐστιν αὐτῷ νόησις ἡ
ατὰ ἀναλογίαν ὕπαρξις. Οὐ δὲ ἔχει λόγον ὁ ἥ-
ιος πρὸς τὴν ὄρασιν, καὶ τὰ ὁρώμενα, ἐκ ὧν
υτὸς ὁ ἥλιος, παρέχων δὲ τῇ μὲν, τὸ ὁρᾶν, τοῖς
ὲ, τὸ ὁρᾶσθαι· τῶτον ἔχει τὸν λόγον ὁ πρῶτος
ῶς πρὸς τὴν ἐν τῇ ψυχῇ νόησιν, καὶ τὰ νοούμενα.

Οὐ

Οὐ γὰρ ὧν ὅπερ ἐστὶν ἡ νόησις, παρέχει αὐτῇ τ
νοεῖν, καὶ τοῖς νοητοῖς τὸ νοεῖσθαι· φωτίζων τὰ
περὶ αὐτὰ ἀλήθειαν. Τρίτη δὲ νόησις τοιαύτη τ
ἂν εἴη, θεωρῶν γάρ τις τὸ ἐπὶ τοῖς σώμασι κ
λόν, μετὰ τοῦτο μέτεισιν ἐπὶ τὸ τῆς ψυχῆς κά
λος· εἶτα τὸ ἐν ἐπιτηδεύμασι, καὶ νόμοις· εἶτ
ἐπὶ τὸ πολὺ πέλαγος τοῦ καλοῦ· καὶ θεὶ ὁ αὐτὸ
ἀγαθὸν νοεῖ, καὶ τὸ ἐραστὸν, καὶ ἐφετὸν, ὥσπερ φα
φασὶ, καὶ οἷον ἐκλάμψαν τῇ ἕτως αὐτοῦ ψυχῇ
πάτερ δὲ καὶ Θεῷ συνεπινοεῖ διὰ τοῦ ἐν τῷ τιμι
ὑπεροχήν. Τοῦτον ἐν πρώτοις ἄνδρ μεγέθους ποσ
πος ἐπιγινώσκει. Ἀμερῆτε διὰ τὸ μὴ εἶναι πρ
τερόν τι αὐτοῦ. Τὸ γὰρ μέρος καὶ τὸ ὅλ ἕ πρότερ
ὑπάρχει τοῦτο, ἕ μέρος. Καὶ δὴ τὸ ἐπίπεδον πρ
τερον, ἢ τὸ σῶμα. Καὶ ἡ γραμμὴ πρότερον,
τὸ ἐπίπεδον. Μέρηγε μὴν οὐκ ἔχων ἀκίνητος
εἴη κατὰ τόπον καὶ ἀλλοίωσιν. Εἰ γὰρ ἀλλοιωθήσ
ται ἢ ὑφ' αὑτοῦ, ἢ ὑφ' ἑτέρυ. Εἰ μὲν δὴν ὑφ' ἑτέ
ἐκεῖνο αὐτοῦ ἰσχυρώτερον ἔσαι. Εἰ δ' ὑφ' αὑτοῦ ἢ
ἐπὶ τὸ χεῖρον ἀλλοιωθείη ἄν, ἢ ἐπὶ τὸ βέλτιστ
Ἀμφω δὲ ἄτοπα. Ἐξ ὧν ἁπάντων ἀναφαίνεται
τὸ ἀσώματον αὐτὸν εἶναι· Ὅπερ καὶ τῶν ἀπ
δειχθήσεται. Εἰ γὰρ σῶμα ὁ Θεὸς, ἐξ ὕλης ἂν ε
καὶ εἴδους. Διὰ τὸ παῦ σῶμα συνδύασμάτι εἶν
ἐκτὸ ὕλης καὶ τοῦ σὺν αὐτῇ εἴδους. Ὅπερ ὁμολο
ται ταῖς ἰδέαις, καὶ μετέχει αὐτῶν, δύσφρας

δήτινα τρόπον. Ἄτοπον δὲ τὸν Θεὸν ἐξ ὕλης εἶναι καὶ εἴδους. Οὐ θεὸς ἔσται ἁπλῆς, οὐδὲ ἀρχικός. Ὥστε ἀσώματον αὖ εἴη ὁ Θεός. Καὶ αὐτόθεν δὲ, εἰ σώματά ἐστιν, ἐξ ὕλης αὖ ὑπάρχοι· Ἢ πῦρ αὖ ἂν εἴη, ἢ ὕδωρ, ἢ γῆ, ἢ ἀὴρ, ἤτοι ἐκ τούτων. Ἀλλ' ἕκαστόν γε τούτων ἐκ ἀρχικόν. Καὶ ἄλλως δὲ, ὕστερον γενήσεται τῆς ὕλης, εἰ ἐξ ὕλης ὑπάρχει. Ὢν ἀτόπων ὄντων, ἀσώματον αὐτὸν ὑπολητέον. Καὶ γὰρ εἰ σῶμά ἐστι, καὶ φθαρτὸς ἔσται, καὶ γενητὸς, καὶ μεταβλητός. Ἕκαστον δὲ τούτων ἄτοπον ἐπ' αὐτῷ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι αἱ ποιότητες εἰσὶν ἀσώματοι.

Καὶ μὴν καὶ αἱ ποιότητες τοῦτον τὸν τρόπον δεικνύουσιν αὖ ἀσώματοι. Πᾶν σῶμα ὑποκείμενόν ἐστιν. Ἡ δὲ ποιότης οὐκ ὑποκείμενόν ἐστιν, ἀλλὰ συμβεβηκός. Οὐκ ἄρα σῶμα ἡ ποιότης. Πᾶσα ποιότης ἐν ὑποκειμένῳ. Οὐδὲν δὲ σῶμα ἐν ὑποκειμένῳ. Οὐκ ἄρα σῶμα ἡ ποιότης. Ἔτι ποιότης ποιότητι ἐναντίον· οὐ μὴν καὶ σῶμα σώματι. Σῶμά τι σώματος, καθόσον σῶμα, οὐδενὶ διαφέρει, ποιότητι δὲ διαφέρει, καὶ μάλα Δία σώμασιν. Οὐκ ἄρα σώματα αἱ ποιό-

πτες. Βούλογώτατόντε ὡς ἡ ὕλη ἄποιος, τὴν ποιό-
τητα ἄϋλον εἶναι· εἰ δὲ ἡ ποιότης ἄϋλος, ἀσώ-
ματος ἂν εἴη ἡ ποιότης. Εἴγε μὴν σώματα καὶ
αἱ ποιότητες, δύο, καὶ τρία σώματα ἔσται ἐν τῷ
αὐτῷ τόπῳ· ἀτοπωτάτῳ τῶν ὑπαρχόντων. Εἰ
δὲ αἱ ποιότητες ἀσώματοι, καὶ τὸ δημιουργικὸν τῶ-
των ἀσώματον. Ἔτι τὰ ποιοῦντα εἶναι ἂν ἄλλα εἴη
ἢ τὰ ἀσώματα· Παθητικὰ γὰρ τὰ σώματα καὶ
φθαρτὰ, καὶ ἄλλα κατὰ τὰ αὐτὰ, καὶ ἀσταύτως
ἔχοντα, καὶ μόνιμα, καὶ ἴσταδα· εἴγε καὶ ἐν
οἷς δοκεῖτι ποιεῖν, πολὺ πρόσθεν διείστηκε πάθε-
χοντα. Ὥσπερ ἂν εἰ τί παθητικὸν εἰλικρινῶς,
ἔπως ἀναγκαῖον ἔτι εἶναι καὶ ἀτρεπῶς ποιητικόν·
Οὐκ ἄλλο δὲ εὕροιμεν ἂν τοῦτο ἢ ἀσώματον.
Ὁ μὲν δὴ περὶ τῆς ἀρχῆς λόγος τοιοῦτος αὖτις
εἴη θεολογικὸς καλλίμεσος. Ἐπὶ δὲ τὸν καλλί-
μεσον φυσικὸν τόκον ἴωμεν χαρπίσων, ἀντιδόσεώς
ποτε ἀρξάμενος.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ αἰτιῶν, καὶ Γενέσεως, καὶ στοιχείων, καὶ τάξεως τοῦ Κόσμου.

Ἐπεὶ γὰρ τῶν κατὰ φύσιν αἰσθητῶν καὶ κατὰ μέρος ὁρισμόν τινα δεῖ παραδείγματα εἶναι τὰς ἰδέας, εἴη καὶ τὰς ἐπιστήμας γίνεσθαι, καὶ τὰς ὁρμάς. Παρὰ πάντας γὰρ ἀνθρώπους ἄνθρωπόν τινα νοεῖσθαι, καὶ παρὰ πάντας ἵππους ἵππον, καὶ κοινῶς παρὰ τὰ ζῶα ζῷον ἀγένητον, καὶ ἄφθαρτον· Οὗ τρόπον σφραγίδος μιᾶς ἐκμαγεῖα γίνεται πολλά· Καὶ ἑνὸς ἀνδρὸς εἰκόνες μυρίαι ἐπὶ μυρίας, τῆς ἰδίας ὕλης αἰτίας ἀρχὴν τοῦ εἶναι ἕκαστον τοιοῦτον, οἷον καὶ ὑπάρχει. Ἀναγκαῖον καὶ τὸ κάλλιστον κατασκεύασμα τὸν κόσμον ὑπὸ τοῦ Θεοῦ δεδημιουργῆσθαι πρός τινα ἰδέαν κόσμου ἀποβλέποντος, παράδειγμα ὑπάρχουσαν τοῦδε τοῦ κόσμου, ὡς αὖ ἀπεικονισμένην ἀπ' ἐκείνης, πρὸς ἣν ἀφομοιωθεὶς ὑπὸ τοῦ δημιουργοῦ αὐτὸν ἀπεργάσθαι· κατὰ θαυμασιωτάτην πρόνοιαν, καὶ δίαιταν ἐλθόντος ἐπὶ τὸ δημιουργεῖν τὸν κόσμον· διότι ἀγαθὸς ἦν. Ἐκ τῆς πάσης δὲ ὕλης αὐτὸν ἐδημιούργει· Ἦν ἄπακτος καὶ πλημμελῶς κινουμένη πρὸ τῆς ἁρμονῆς γενέσεως, ἐκ τῆς ἀταξίας

βων, πρὸς τὴν ἀεί ζωον ἤγαγε τάξιν· ἀριθμοῖς πρέπουσι τὰ μέρη κοσμήσας αὐτῷ, καὶ σχήμασιν. Ὥστε δακεῖναι ὅπως πυρὶ ἔχει πῦρ τε καὶ γῆ πρὸς ἀέρα τε καὶ ὕδωρ, ἴσην μετέωρα ἔχοντα, καὶ τὸ δεκτικὸν τῆς τῶν στοιχείων δυνάμεως. Ἀλόγως δὲ καὶ ἀμέτρως σειόντα τὴν ὕλην καὶ πρὸς ταύτης σειόμενα. Ἐξ ἑκάστου δὲ ὅλου τῶν τεττάρων αὐτὸν στοιχείων ἐγέννησε, πυρός τε παντὸς, καὶ γῆς, ὕδατός τε, καὶ ἀέρος, ἡδὲν μέρος ἡδενὸς ἀπολιπών, ἡδὲ δύναμιν διανοηθείς. Πρῶτον μὲν ὅτι σωματοειδὲς χρὴ, καὶ γενόμενον εἶναι, καὶ πάντως ἁπτόν τε καὶ ὁρατόν. Χωρὶς δὲ πυρὸς καὶ γῆς οὐκ οἰόν τε ὅτι ὁρατόν τινι εἶναι, οὐδὲ ἁπτόν. Καπὶ δὴ τὸν εἰκότα λόγον, ἐκ γῆς αὐτὸν καὶ πυρὸς ἐποίησε. Ἐπεὶ δὲ καὶ δεσμὸν ἔδει τινὰ σωματοφόρον ἐν μέσῳ γενέσθαι· θεῖος δὲ δεσμὸς ὁ τῆς ἀναλογίας, ὃς ἑαυτόν τε καὶ τὰ συνδούμενα πέφυκεν ἓν ποιεῖν. Ἐπίπεδός τε ἂν ὁ κόσμος· Ἀπέχρη γὰρ ἂν αὐτῷ μία μεσότης. Σφαιροειδὴς δὲ, δυοῖν ἐδέησεν αὐτῷ μεσοτήτων εἰς συναρμογήν. Διὰ τοῦτο πυρὸς ἐν μέσῳ καὶ γῆς, ἀήρ τε καὶ ὕδωρ ἐπάχθη κατὰ τὸν τῆς ἀναλογίας τρόπον. Ὥστε ὡς ἔχει πῦρ πρὸς ἀέρα, οὕτως ἔχειν ἀέρα τε πρὸς ὕδωρ, καὶ τοῦτο πρὸς γῆν, καὶ ἀνάπαλιν. Τῷ δὲ μηδὲν ἐξωθεν ὑπολείπεσθαι, καὶ μονογενῆ τὸν κόσμον ἐποίησε, καὶ κατὰ τὸν ἀριθμὸν τῇ ἰδέᾳ εἰκασμέ-

νον

τον μιᾷ ὥσῃ. Πρός τε τέτοις ἄνοσόν, καὶ ἀγήρω, ἔτε αὐτῷ μηδενὸς προσιόντος, τὰ γηραίνειν πεφυκότας. Αὐτάρκητε καὶ ἀδένος ἔξωθεν δεόμενον. Σχῆμα δ' αὐτῷ πεφυκέθηκε τὸ σφαιροειδὲς, ἁπάντων σχημάτων, καὶ πολυχωρότατον, καὶ ἁπλουστότατον. Καὶ ἐπεὶ ἔτε ἐράσεως ἐδεῖτο, ἔτε ἀκοῆς, ἔτε μὴν ἄλλης τοιάτης τινὸς, ἐ προσῆψεν αὐτῷ τοιαῦτα ὄργανα πρὸς ὑπηρεσίαν. Ἀφελόμενος δὲ τὰς λοιπὰς κινήσεις, μόνην αὐτῷ δέδωκε τὴν κυκλοφορητικήν, ἣν, καὶ φρονήσεως οἰκείαν ὑπάρχουσαν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς ἁρμονίας τῶν σχημάτων μετὰ τῶν στοιχείων τῦ Κόσμυ, καὶ αὐτῦ τῦ Κόσμυ.

Ἐξ ὧν δὲ συνέστηκε ὁ Κόσμος δύο ὑπαρχόντων, σώματος καὶ ψυχῆς, ὧν τὸ μὲν ὁρατὸν, καὶ ἁπτὸν, τὸ δὲ ἀόρατός τε καὶ ἀναφὲς, ἑκατέρυ τὴν δυνάμις καὶ τὴν σύστασις διάφορος ἔσα τυγχάνει. Τὸ μὲν γὰρ σῶμα αὐτῦ ἐκ πυρὸς γέγονε, καὶ γῆς, ὕδατός τε, καὶ ἀέρος. Ταῦτα δὴ τὰ τέτταρα συλλαβὼν ὁ δημιυργὸς τῦ κόσμυ, ἐ μὰ δία στοιχείων τάξιν ἐπέχοντα, διεσχημάτισε πυραμίδι καὶ κύβῳ, καὶ ὀκταέδρῳ, καὶ εἰκοσαέδρῳ, καὶ ἐπὶ πᾶσι δωδεκαέδρῳ. Καὶ καθὸ μὲν πυραμίδος

σχῆμα ἔλαβεν ἡ ὕλη, πῦρ ἐγένετο· τριπλασία γὰρ τῆ σχήματος ὄψις, καὶ ἓξ ἰσοπλεύρων τριγώνων· σφαῖρα δὲ καὶ μία γενέσθαι. Καθὸ δὲ ὀκτάεδρα, τὸ εἴδος πυραμίδος ἀπέλαβε. Καθὸ δὲ εἰκοσάεδρα, τύπον τινὰ ὕδατος πεποίηται ἔσχε. Τὸ δὲ τῆ κύβου σχῆμα ἀπεδίδου τῆ γῆ, στερεωτάτην ὑπαρχοῦσαν καὶ εὐδραιοτάτην. Τῷ δὲ σχήματι τῆ δωδεκαέδρου, πρὸς τὸ πᾶν κατεχρήσατο. Πάντων δὲ τῶν ἀρχικωτάτη φύσις ἡ τῆ ἐπιπέδων. Τῶν γὰρ στερεῶν προηγεῖται τὰ ἐπίπεδα. Τῆς δὲ ἐπιπέδου φύσεως ἑκατέρα τινὰ πρόγονα δύο ὑπάρχει τρίγωνα τὰ κάλλιστα ὀρθογώνια, τὸ μὲν σκαληνὸν, τὸ δὲ ἰσοσκελές. Τῆ σκαληνῆ μίαν μὲν γωνίαν ὀρθὴν ἔχοντος, μίαν δὲ δικαίαν, τὴν δὲ καταλειπομένην τρίτην. Τὸ μὲν δὴ πρότερον, λέγω δὴ τὸ σκαληνὸν τρίγωνον πυραμίδος, καὶ ὀκτάεδρα, καὶ εἰκοσάεδρα στοιχεῖον γίνεται. Τῆς μὲν πυραμίδος ἐκ τεττάρων ἰσοπλεύρων τριγώνων συνεστώσης, εἰς ἓξ τρίγωνα σκαληνὰ τὰ ἡμίση ἑκάστη διαιρεμένη. Τῆ δὲ ὀκτάεδρα ἐξ ὀκτὼ, ὁμοίως διαιρεμένη ἑκάστη εἰς ἓξ σκαληνά. Τῆ δὲ εἰκοσάεδρα ἐξ εἴκοσι. Τὸ δὲ ἕτερον λέγω δὲ τὸ ἰσοσκελὲς συστατικὸν τῆ κύβου γίνεται. Τέτταρα γὰρ ἰσοσκελῆ τρίγωνα συνελθόντα τετράγωνον ποιεῖ. Ἐξ οἱωνδὴ ἓξ τετραγώνων ὁ κύβος συνίσταται. Τῷ δὲ δωδεκαέδρου εἰς τὸ πᾶν ὁ Θεὸς κατεχρήσατο. Διὸ τὸ-

ζῳδιάτε ἐν ὐρανῷ θεωρεῖται δώδεκα ἐν τῷ ζωδιακῷ κύκλῳ· καὶ ἕκαστον αὐτῶν εἰς μοῖρας τριάκοντα διαιρεῖται. Παραπλησίως καὶ ἐπὶ τῆ δωδεκαέδρω ἐκ πεντεγώνων ὄντος δώδεκα, διαιρεμένων εἰς πόντε τριγώνα· ὅτι ἕκαστον δὶ ἐξ τριγώνων εἶναι· ἐν ὅλῳ τῷ δωδεκαέδρῳ τριακοσίων ἑξήκοντα διαιρεμένων τριγώνων, ὁπόσαι καὶ ἐν τῷ ζωδιακῷ μοῖραι ἴσαι τυγχάνυσι. Τοιούτοις δὴ ὑπὸ τῦ Θεῦ ἡ ὕλη τυπωθεῖσα, ἐκινεῖτο μετὰ τὸ πρῶτον τοῖς ἴχνεσιν ἀτάκτως, εἶτα ὑπὸ τῦ Θεῦ πρὸς τάξιν ἦχθη, ἁρμοθεσάντων πάντων ἀναλογίᾳ πρὸς ἄλληλα. Οὐ μόνει δὲ πᾶσα διειλῆφθαι κατὰ χώραν· Ἄπαυστον δὲ ἔχει σεισμὸν καὶ τῇ ὕλῃ παρέχει. Διότι τῇ τῦ κόσμυ περιφορᾷ σφιγγόμενα συνωθεῖται, καὶ συνελαυνόμενα πρὸς ἄλληλα φέρεται τὰ λεπτομερέστερα εἰς τὰς τῆ διαμερεστέρων χώρας. Διὰ τῦτο δὴ μηδὲν ἀπολείπεσθαι σώματος ἔρημον. Καὶ ἡ ἀναμαλάττυσα δὲ διαμένυσα τὸν σεισμὸν παρέχεται. Ἐπόντε γὰρ τέτρων ἡ ὕλη σείεται· καὶ ταῦτα ὑπ' ἀνάγκης.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς ψυχῆς τοῦ Κόσμου, καὶ περὶ τῆς σφαιρῶν, καὶ ἀστέρων.

ΤΑ μὲν δὴ σώματα εἰς τὰς τῶν ἐμφαινομένων ἐν τῇ ψυχῇ δυνάμεων τὴν διδασκαλίαν αὐτῆς πεποίηται. Ἐπεὶ γὰρ ἔκαστα τῶν ὄντων κεῖνομεν τῇ ψυχῇ· τὰς ἁπάντων τῶν ὄντων ἀρχὰς εἰκότως ἐγκατέταξεν αὐτῇ, ἵν' ἀεὶ τῷ ὑποπίπτοντων ἕκαστον κατὰ τὸ συγγενὲς καὶ παραπλήσιον θεωρῶντες, σύμφωνον τοῖς ἔργοις καὶ τὴν οὐσίαν αὐτῆς ὑποσησόμεθα. Λέγων ἂν εἶναί τινα νοητὴν οὐσίαν ἀμέριστον, καὶ ἄλλην περὶ τὰ σώματα μεριστὴν ὑπεστήσατο· Ἐμφαίνων ὅτι ἑκατέρας τῶν θείων ἐφάπτεσθαι δύναται τῇ νοήσει. Ὁρῶν δὲ καὶ ἐπὶ τῶν νοητῶν ταυτότητα, καὶ ἑτερότητα ἐπὶ τῶν μεριστῶν, ἐκ παντὸς τοῦ συμπαντὸς τὴν ψυχήν. Ἢ γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον γνωρίζεται, ὡς τοῖς Πυθαγορείοις ἀρέσκει. Ἢ τῷ ἀνομοίῳ τὸ ἀνόμοιον, ὡς Ἡρακλείτῳ τῷ φυσικῷ. Ὅταν δὲ λέγῃ γεγονέναι τὸν κόσμον, οὐχ ὅτως ἀκυσίου αὐτῷ ὡς ὄντος ποτὲ χρόνῳ, ἐν ᾧ οὐκ ἦν κόσμος· Ἀλλὰ διότι ἀεὶ ἐν γενέσει ἐστὶ, καὶ ἐμφαίνει τῆς αὐτῷ ὑποστάσεως ἀρχικῶτερόν τι αἴτιον. Καὶ τὴν ψυ-

ιχὼ δὲ ἀεὶ ὄσαν τὸ κόσμῳ ὐχὶ ποιεῖ ὁ Θεὸς ;
λὰ καπακοσμεῖ. Καὶ τάυτῃ λέγοιτ' ἂν ϗ ποιεῖν,
ίρων ϗ ἐπισρέφων πρὸς αὐτὸν τόντε νῶν αὐτῆς,
αὐτῷ ὥσπερ ἐκ κάρυ τινὸς βαθέως ὕπνυ. Ὅ-
ς ἀποβλέψασα πρὸς τὰ νοητὰ αὐτῆ δέχηται τὰ
ὴ ϗ τὰς μορφὰς, ἐφιεμένη τῆ ἐκείνυ νοημάτων.
λον ἔν ὅτι ζῶον αὖ εἴη ὁ κόσμος ϗ νοερόν. Ἄ-
τον γὰρ αὐτὸν βελόμενος ποιῆσαι ὁ Θεὸς, ἀ-
ιέθως ϗ ἔμψυχον αὐτὸν ἐποίησε ϗ νοερόν.
, τε γὰρ ἔμψυχον ἀποτέλεσμα τῆ μὴ ἐμψύ-
ὅλον ὅλυ κρεῖττον, καὶ τὸ νοερὸν τῆ μὴ νοερῆ.
ως ὐχ οἵυτε ὄντος νῦ ἄνευ ψυχῆς ὑποσῆναι.
ς δὲ ψυχῆς πεθείσης ἐκ τῆ μέσυ ἐπὶ τὰ πέρα-
, συνέβη αὐτὴν τὸ σῶμα τῆ κόσμυ κύκλῳ δια-
ντὸς πεειέχειν ϗ πεειπαλύφαι. Ὥςε ὅλῳ τῷ
μῳ αὐτῷ παρεκτεῖναι. Καὶ τῦτον τὸν τρόπον
ὸν συνδεῖντε ϗ συνέχειν. Κρατεῖν μέντοι τὰ
ὸς αὐτῆς τῶν ἐντός. Ἡ μὲν δὴ ἑπτὸς ἅρμονίας
νσα. Ἡ δὲ ἐντὸς εἰς ἑπτὰ κύκλυς ἐτμήθη,
ἀρχῆς νεμηθεῖσα κατὰ διπλάσια, ϗ τεια-
άσια διασήματα. Ἔςιπε ἡ μὲν πεειεχομένη
ὸ τῆς ἁρμονίας μειπάσης σφαίρας ταυτῷ παρα-
ησία, ἡ δὲ χισθεῖσα θατέρῳ. Ἡ μὲν γὰρ
πάντα πεειέχοντος ὑρανῦ κίνησις ἀπλανὴς ὖσα
ται ἐςὶ ϗ τεταγμένη. Ἡ μέντοι τῷ ἐντὸς ποι-
μ ϗ ἀναπλαῖςτε ϗ δύσεσιν ἔπλασε. διὸ ϗ

πλα-

πλανήτης καλεῖται. Φέρεται δὲ ὁ μὲν ἑκτὸς ἐπὶ τὰ δεξιὰ, ἐπ' ἀνατολὰς ἐπὶ δύσιν κινούμενον. Ὁ δὲ ἐπὶ ἀνατολὰς ἐπὶ τὰ ἀριστερὰ, ἀπὸ δύσεως ἐπ' ἀνατολὰς ὑπαντιάζων τῷ κόσμῳ. Ἐδημιούργησε δὲ ὁ Θεὸς καὶ ἀέρα καὶ ἄστρα. Καὶ πῦρ τὸ μὲν ἀπλανὲς κόσμον ὁρατὸν καὶ πυκτὸς κάμπτοντα ὅπερ τῷ πλήθει. Τὰ δὲ, εἰς γένεσιν ἀριθμοῦ καὶ χρόνου, καὶ δεῖξιν τῶν ὄντων, ἐπτὰ ὄντα. Καὶ γὰρ τὸν χρόνον ἐποίησε τῆς κινήσεως τῷ κόσμῳ διάστημα, ὡς αὐ εἰώθασι καὶ αἰῶνος· Ὅς ἐστι μέτρον καὶ αἰωνίου κόσμου τῆς μονῆς. Τὰ δὲ μὴ ἀπλανῆ τῶν ἄστρων, καὶ δυνάμει καὶ ὁμοια. Ἥλιος μὲν ἡγεμονεύει πάντων, δεικνύς τε καὶ φαίνων καὶ σύμπαντα. Σελήνη δὲ ἐν τάξει δευτέρᾳ διαφέουσα ἴσχυσε τῆς δυνάμεως. Οἱ δὲ ἄλλοι πλανῆται ἀναλόγως κατὰ μοῖραν ἕκαστος ἰδίαν. Καὶ σελήνη μὲν μηνὸς μέτρον ποιεῖ, ἐπερχομένη τὸν ἑαυτῆς κύκλον, καὶ καταλαβοῦσα τὸν ἥλιον ἐν τοσούτῳ. Ἥλιος δὲ ἐνιαυτόν. Περιελθὼν γὰρ τὸν ζωφόρον κύκλον, πληροῖ τὰς ὥρας τὸ ἔτος. Οἵτε ἄλλοι καθ' ἕκαστον περιόδοις ἰδίαις κέχρηται. Ἀέσεως δὲ χρηται ὁ τοῖς τυχοῦσιν οὐσιν, ἀλλὰ τοῖς πεπαιδευμένοις. Ἐκ δὲ πασῶν τῶν περιόδων, ὁ μέλλος ἀριθμὸς καὶ χρόνος συμπεραίνεται, ὁπόταν ἐπὶ τὸ αὐτὸ σημεῖον πάντες οἱ πλανῆται ἐλθόντες, τὴν αὐτὴν τάξιν λάβωσιν, ἥν ποτε διακόσμου κατ-

ὰ πὸ

ἀπὸ τῆς ἀπλανοῦς σφαίρας ἐπὶ τὴν γῆν νεύσης κατὰ πάθετον, τὰ κέντρα αὐτῇ ἐπὶ ταύτης θεωρεῖσθαι. Ἐπεὶ τοίνυν σφαιρῶν ὐσῶν ἐν τῇ πλανωμένῃ σφαίρᾳ, ἑπτὰ σώματα ὁ Θεὸς δημιουργήσας ὥρατὰ ἐκ πυραίδος τῆς πλείστης ὐσίας ἐφήρμοσε ταῖς σφαίραις ὑπαρχούσαις ἐν τῷ θεωτέρῳ κύκλῳ τῇ πλανωμένῃ. Σελήνην μὲν δὴ τὴν μετ' αὐτὴν ἐπίθηκε κύκλῳ τῷ πρώτῳ. Ἥλιον δὲ εἰς τὸν δεύτερον ἔταξε. Φωσφόρον δὲ τὸν ἱερὸν Ἑρμῆ λέγομεν ἀστέρα, εἰς τὸν ἐσπερινὸν μὲν Ἡλίῳ κύκλον ἐόντα, τάχει δὲ ἀφισώμενον. Τ'ἄλλα δὲ τὰς ἄλλας κατὰ σφαίραν οἰκείαν. Τὸν μὲν βραδύτατον αὐτῇ ὑπὸ τῇ τῆς ἀπλανοῦς κεῖμενον σφαίρᾳ, ὃν Κρόνου τινὲς ἐπονομάζουσιν ἀστέρα. Τὸν δὲ βραδυτῆτι δεύτερον μετὰ τοῦτον, Διὸς ἐπώνυμον. Τῷ δ' ἐν τὸν Ἄρεως. Ὀγδόη δὲ πᾶσιν ἡ ἄνωθεν δύναμις περιβέβληται. Πάντες δὲ ὅτοι νοεραὶ ζῶαι, καὶ θεοὶ, καὶ σφαιρικὰ τοῖς χύμασι.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς Δαιμονίων καὶ στοιχείων.

Εἰσὶ δὲ καὶ ἄλλοι δαίμονες, ὃς καὶ καλοῖν ἔνιοι νοητὰς Θεὰς καθ' ἕκαστον τῶν στοιχείων· οἱ μὲν ὁρατοί· οἱ δὲ ἀόρατοι, οἵτε αἰθέρι καὶ πυρὶ, ἀέρι τε καὶ ὕδατι· ὡς μηδὲν κόσμου μέρος ψυχῆς ἄμοιρον εἶναι, μηδὲ ζώου κρείττονος ἐννοίας φύσεως. Τούτοις δὲ ὑποπέπακται τὰ ὑπὸ σελήνην πάντα καὶ τὰ ἐπίγεια. Ὁ μὲν γὰρ Θεὸς ἔστε παντὸς ὑπάρχει ποιητὴς αὐτὸς, καὶ τῶν θεῶν τε, καὶ τῶν Δαιμόνων, ὧ δὴ παῦ λύσιν οὐκ ἔχει κατὰ τὸν ἐκείνου βάλησιν. Τῶν δὲ ἄλλων οἱ ἐκείνου παῖδες ἡγοῦνται κατὰ τὸν ἐκείνου ἐντολὴν καὶ μίμησιν πράττοντες ὅσα πράττουσιν. Ἀφ' ὧν κληδόνες, καὶ ὀττεῖαι, καὶ ὀνείρατα, καὶ χρησμοὶ, καὶ ὅσα κατὰ μαντείαν ὑπὸ θνητῶν τεχνιτεύεται. Κεῖται δὲ ἡ μὲν γῆ τῶν ὅλων μέση περὶ τὸν διὰ παντὸς τεταγμένον σφιγγομένη πόλον· ἡμέρας φύλαξ, καὶ νυκτὸς, πρεσβυτάτη τῶν ἐντὸς οὐρανοῦ Θεῶν ὑπάρχουσα. Μετάγει τὸν ψυχὸν τὸν κόσμον τροφὸν ἡμῖν παρέχουσα δαψιλῆ· περὶ ἣν ὁ κόσμος πολεῖται, ἄστρωτος καὶ αὐτὸς ὑπάρχουσα. Μέσην δὲ διὰ τὸ ἰσόρροπον εἶναι χρῆμα ἐν μέσῳ

τῷ κείμενον, ὅμοιον τῷ περιέχοντι. Ὁ δὲ αἰθὴρ ἐξωτάτω διηρημένος, εἴς τε τὴν τῶν ἀπλανῶν σφαῖραν, καὶ εἰς τὴν τῶν πλανωμένων. Μετ' ἀέρα ἡ τοῦ ἀέρος ὑπάρχει καὶ ἐν μέσῳ ἡ γῆ σὺν τῷ ἑαυτῆς ὑγρῷ, ἐπεὶ διεκεκόσμητο αὐτῷ τὰ πάντα.

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Ὅτε οἱ νεώτεροι θεοὶ δημιουργοὶ τοῦ ἀνθρώπου καὶ περὶ μετεμψυχώσεως.

ΤΡία δὲ τὰ λοιπὰ γένη τῶν ζώων ἔλιπεν, ἅπερ ἔμελλε θνητὰ ἔσεσθαι, τότε πηνόν, καὶ τὸ ἔνυδρον, καὶ τὸ πεζόν· τοῖς ἐκγόνοις αὐτοῦ θεοῖς ἐπέταξε τὴν τῶν πάντων πεῖσιν, ὅπως μὴ ὑπ' αὐτοῦ πλαθέντα ἀθάνατα γένοιτο. Αὐτοὶ δὴ δανεισάμενοι ἀπὸ τῆς πρώτης ὕλης μέρια, ἅττα πρὸς ὠφελιμοὺς χρόνους ὡς εἰς αὐτὸ πάλιν ἀποδοθησόμενα, ἐδημιούργουν τὰ θνητὰ ζῶα. Ἐπεὶ δὲ περὶ τὸ ἀνθρώπινον γένος ὡς συγγενεστάτου θεοῖς πάλιν φροντὶς ἦν, τὸν μὲν πατρὶ πάντων, καὶ τοῖς τούτου ἐκγόνοις θεοῖς, κατέπεμψεν ἐπὶ τῆς γῆς τὰς τοῦ γένους ψυχὰς ὁ τῶν ὅλων δημιουργὸς. ἰσαρίθμους τοῖς ἄστροις. Ἐμβιβάσας δὲ ὡς εἰς ὄχημα ἄστρον τὸ σωνόμον ἅπασας, νόμους τὰς εἱμαρμένους εἶπεν αὐταῖς νομοθέτας τρόπον, ὅπως ἀν-

αὐτὸς ἀναίτιος ἦ. Ὅτι τὰ πάθη ἀπὸ σώματος προσφύεται θνητοῦ· πρῶτα μὲν αἰσθήσεις, ἔπειτα δὲ ἡδονὴ καὶ λύπη, φόβος τε καὶ θυμός· ὧν κρατήσασαι καὶ μηδαμῶς βιασθεῖσαι· αἱ μὲν δίκῃ βιώσονται καὶ εἰς τὸ σωτήριον ἄγρον ἀφίξονται. Αἱ δὲ κρατηθεῖσαι ὑπὸ ἀδικίας, εἰς γυναικὸς, ἐν τῇ δευτέρᾳ γενέσει, βίον ἑλόμεναι. Μὴ παυόμεναι δὲ, τὸ πλανητὸν εἰς θηρίων φύσιν. Τέλος δὲ αὐταῖς ἔσται πόνων ἴσων τὸ νικῆσαι μὲν τὸ προσφυὲς, εἰς δὲ τὴν οἰκείαν ἕξιν ἐλθεῖν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ σώματος καὶ μιλῶν τῶ ἀνθρώπε, καὶ ὅτι ἐξ τῆς ψυχῆς δυνάμεων.

Οἱ δὲ θεοὶ ἔπλασαν μὲν προηγυμένως τὸν ἄνθρωπον ἐκ γῆς καὶ πυρὸς, καὶ ἀέρος καὶ ὕδατος, μοίρας τινὰς δανεζόμενοι εἰς ἀπόδοσιν· συνδεσμὸν δὲ ἄφατον γόμφους οὔτι σωματουργαμένους. Τῆς δὲ καταπεμφθείσης ψυχῆς τὸ μὲν ἀπέδησαν εἰς τὴν κεφαλὴν, ὅπερ ἄρραν ὑπερδεσμὸν τὸν ἐγκέφαλον. Περὶτε τὸ πρόσωπον ἔθεσαν τὰ τῆς αἰσθητηρίου ὄργανα ὑπηρεσίαν ἐκτελέσαντα τὸν προσήκοντα. Συνέθεσαν δὲ τὸν μὲν μυελὸν ἐκ τῆς λείοντος καὶ ἀγαθῶν τεταγόντων, ἐξ ὧν

ὧν τὰ στοιχεῖα ἐγένετο, σπέρματος γένεσιν ἐσήμηνεν. Τὸ δὲ ὀστοῦν ἐκ γῆς καὶ μυελοῦ δυνάμεων, καὶ πολλάκις ὕδατι καὶ πυρὶ βαφέντων. Τὰ δὲ νεῦρα ἔξ ὀστοῦ καὶ σαρκός. Αὐτὴ δὲ ἡ σὰρξ ἐγένετο ἐκ τε ἁλμυρᾶς καὶ ὀξέως, οἷον ζωμώματος. Περιέθηκαν δὲ μυελῷ μὲν τὸ ὀστοῦν, τοῖς δὲ ὀστοῖς πρὸς συνάρσιν αὐτῶν νεῦρα. Καὶ διὰ νεύρων μὲν κάμψεις ἐγένοντο καὶ ἄρθρων συναρέσεις, διὰ δὲ σαρκὸς σκέπη αὐτοῖς, ἧς περ ἐπιπλεονασμένης μὲν λύπης, μὴ δὲ μιλαίνης πρὸς αὐτὸ τὸ εὔχρηστον τῷ σώματι. Ἐκ τούτων δὲ καὶ ἔνδοθεν συνεπλέχθη σπάγχνα, κοιλίαι καὶ περὶ ταύτῃσι ἕτερα ἐλίχθησαν. Ἀνωθεν δὲ ἀπὸ στόματος ἀρτηρία καὶ φάρυγξ. Ἡ μὲν εἰς στόμαχον, ἡ δὲ εἰς πνεύμονα ἰοῦσα. Διοικεῖται δὲ τὰ σιτία κατὰ τὴν γαστέρα πνεύματί τε καὶ θερμῷ πεπτόμενα καὶ μαλασσόμενα, καὶ ὕπνος ἐπὶ πᾶν τὸ σῶμα χωρεῖται κατὰ τὰς σίτων μεταβολάς. Δύο δὲ φλέβες πρὸ τῆς ῥάχεως ἰοῦσαι τὴν κεφαλὴν ἑκατέρωθεν καταπλέκονται ἀλλήλαις ἀπαντῶσαι, χίζονται δὲ ἐνθεν ἐπὶ τοῦτο. Ἐργασάμενοι δὲ οἱ θεοὶ τὸν ἄνθρωπον, καὶ ἐνδύσαντες τῷ σώματι αὐτὸν ὡς ψυχὴν ἐνεποίησαν αὐτῷ. Ταύτης τὸ ἡγεμονικὸν κατὰ λόγον περὶ τὴν κεφαλὴν καθίδρυσαν, ἔνθα μυελὸς ἀρχὴ καὶ νεύρων καὶ κατὰ τὰς αὐτοῦ παραφορέας. Ἐπειπομένην δὲ τῇ ἀν-

θύσεων τῇ κεφαλῇ, ὥσπερ δορυφορεσῶν τὸ ἡγ
μονικόν. Ἐν τούτῳ γὰρ τὸ συλλογιστικὸν τῷ τὸ
καὶ τῷ θεωρεῖν τε, καὶ κρίνον. Τὸ δὲ παθητικὸν
ψυχῆς κατωτέρω ἐποίησαν. Τὸ μὲν θυμικὸν πε
τιλὴ καρδίαν· Τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸ ἦτ
καὶ τὰς περὶ τὸν ὀμφαλὸν τόπους, περὶ ὧν ὕστε
εἰρήσεται.

ΚΕΦΑΛΑΙΟΝ. ΙΗ'.

Περὶ ὄψεως, φωτὸς, καὶ κατοπτρικῶν φαντασιῶν.

Ἱ Δρύσαντες δὲ περὶ τὸ πρόσωπον τὰ φωσ
ρα ὄμματα καθεῖρξαν ἐν αὐτοῖς τὸ πυρ
τὸ φωτοειδές. Ὅπερ λεῖον ὑπάρχον καὶ πυκ
ἀδελφὸν ὤοντο εἶναι τῷ μεθημερινῷ φωτός. Δ
το δὲ ῥᾶσα δὶ ὅλων μὲν τῶν ὀφθαλμῶν, μ
λισα δὲ κατὰ τὸ μέσον αὐτῶν διεκτεῖ τὸ καθ
ρώτατόντε καὶ εἰλικρινέσατον. Ὃ γινόμενον σι
παθὲς τῷ ἔξωθεν ὅμοιον ὁμοίῳ ὁρατικῷ αἴσ
σιν παρέχεται. Ὅθεν καὶ τῷ φωτὸς νύκτωρ ἀπι
τος ἢ σκοτωθέντος, οὐκ ἔτι προσφύεται τὸ
ἡμῶν ῥεῦμα τῷ πλησίον ἀέρι. Συνεχόμενον
ἐντὸς, ὀμαλύνειτε, καὶ διαχεῖ πᾶς ἐν ἡμῖν κινήσ
ἐπαγωγὸν ὕπνου γινόμενον· παρὸ καὶ μάλι τὰ βλ
φαρ

μερα. Πολλῆς μὲν δὴ ἡσυχίας γινομένης βραχύτεροι ὕπνοι ἐμπίπτουσιν· ὑπολειφθεισῶν δὲ πλειόνων κινήσεων, φαντάσματα συχνὰ γίνεται περὶ ἡμᾶς. Καὶ πὰς μὲν ὕπαρτε καὶ ὄναρ κατ' εὐθυμερίαν γινομένας φαντασίας ὡδὶ συνίσαθαι. Ταύτας δὲ ἑπομένως καὶ πὰς κατὰ τῆδε κατόπτρων εἰδωλοποιίας, καὶ τῆδε ἄλλων ὅσα διαφανῆ καὶ λεῖα ἐκ ἄλλως ἢ κατὰ ἀνάκλασιν σωπελεῖθαι. Ὡς δ' ἔχει τὸ κάτοπτρον κυρτότητος, ἢ κοιλότητος, αἱ διάφοροι γὰρ ἔσονται φαντασίαι, ἀνταπωθουμένων τῆδε φώτων πρὸς τὰ μέρη τὰ ἕτερα· ἀπολιθαινόντων μὲν τῆς κυρτότητος, εἰς δὲ τὸ κοιλότητα συνιόντων. Οὕτω γὰρ ἐφ' ὧν μὲν ἐξ ἐναντίων τὸ λαιὸν καὶ τὸ δεξιὸν ὁρᾶται· ἐφ' ὧν δὲ κατὰ τὸ ἴσον· ἐφ' ὧν δὲ τὰ κάτω πρὸς τὰ ἄνω, καὶ ἔμπαλιν μεταπίπτει.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆδε ἄλλων αἰσθήσεων, καὶ τῆδε ὑποκειμένων αὐτῆδε.

Ἀκοὴ δὲ γέγονε πρὸς φωνῆς γνῶσιν, ἀρχομένη μὲν ἀπὸ τῆς περὶ τὸ κεφαλὸ κινήσεως, τελευτῶσα δὲ περὶ ἧπατος ἕδραν. Ἡ δὲ φωνή ἐςιν ἢ δι' ὧτων ἐρχομένη, ἐγκεφάλου καὶ

καὶ αἵματος, διαδιδομένη δὲ μέχρι ψυχῆς πλη-
γείσης· ὀξεῖα μὲν ἡ ταχέως κινηθεῖσα, βαρεῖα
δὲ ἡ βραδέως· καὶ μεγάλη μὲν ἡ πολλὴ, μι-
κρὰ δὲ ἡ ὀλίγη. Τούτοις δὲ ἑπομένως ἡ τῶν μυ-
κτήρων δύναμις πρὸς τὴν τῶν ὀσμῶν αἴσθησιν συ-
νίστη. Ἔστι δὲ ἡ ὄσφρησις τὸ κατιὸν ἀπὸ τῆς ἐγκε-
φάλου πάθος, μέχρι τῆς περὶ τὸν
ὀμφαλὸν τόπου. Εἴδη δὲ τούτης ἔχ ὑπάρχει κα-
τονομασμένα, ἕξω δυοῖν τοῖν γενικωτάτοιν, εὐω-
δίας τε καὶ δυσωδίας· ἄπειρα γὰρ τὰ ἀλγεινοῦντα καὶ ἡ-
δύος ἔχει πρόσρησιν. Πᾶσαν δὲ τὴν ὀσφρῆσιν εἶρος
μὲν εἶναι παχυτέραν, ὕδατος δὲ λεπτοτέραν.
Ἡμεῖς δὲ οὐ καθ' ἑκάστους λέγεται τὸ τῆς ὀσμῆς γέ-
νος, ὅτι τούτων ἐστὶ τῶν ὑδάτων μεταβολαὶ τελεῖαι
εἰληφότων, ἀλλὰ κοινωνίαν ἐχόντων ἀέρος τε καὶ
ὕδατος· ταῦτα δὲ εἶναι κατὰ καταφόρτε καὶ ὁμίχ-
λην. Τούτων γὰρ εἰς ἄλληλα ἀμειβόντων ἡ τῆς
ὀσφρήσεως αἴσθησις σωτελεῖται. Τὰ γὰρ μὲν
γεῦσιν ποικιλωτάτην χυμῶν ἐπιγνώμονα κατα-
σκεύασαν οἱ θεοὶ, φλεβία διατείναντες ἀπ' αὐ-
τῆς μέχρι καρδίας, δοκίμια ἰσόμοια καὶ κεντρί-
εια τῶν χυμῶν. Ταῦτα δὲ συγκεινόμενα καὶ διακε-
νόμενα κατὰ τὰς προσπτώσεις τῶν χυμῶν δια-
φέρει τὴν ἐν τούτοις παραλλαγήν. Εἰσὶ δὲ χυ-
μῶν διαφοραὶ ἑπτὰ, γλυκὺς, ὀξὺς, στυφνὸς,
αὐστηρὸς, ἁλμυρὸς, δριμὺς, πικρός. Τούτων δὲ
τὸν

ν μεν γλυκυ ἐναντίαν φύσιν ἔχειν τοῖς ἄλ-
ις ἅπασι συμβέβηκε, διαχέοντα οἰκείως τὴν
εἰ τὴν γλῶσαν ὑγρότητα. Τὰς δὲ λοιπὰς,
; μεν κυκῶντάς τε καὶ ταράττοντας, ὀξεῖς.
ὶς δὲ ἐκθερμαίνοντας καὶ εἰς τὰ ἄνω θέοντας,
μεῖς. Τὰς δὲ τὸ ῥυπτικὸν ἔχοντας σφοδρὸν,
τε συντήκειν, πικρὰς· τὰς δὲ πρέμα καθαί-
τάς τε καὶ ῥύπτοντας, ἁλμυρὰς. Τῶν δὲ συ-
όντων τὰς πόρους, καὶ συγκεινόντων, τὰς μεν
ιχυτέρους, τρυφερὰς εἶναι· τὰς δ' ἧττον τὰ-
αζομένους, αὐστηράς. Λέπτιλον δὲ εἶναι δύ-
ιμιν κατεσκευασμένην ὑπὸ θεῶν, ὠτιλιπτιπλὴν
ρμοῦντα καὶ ψυχρῶν, μαλακοῦντα καὶ σκλη-
ν, κάθοντα καὶ βαρέων, λεαίνοντα καὶ τρα-
ων, ὡς κρίνειν καὶ τὰς ἐν τούτοις διαφοράς.
ιοντα δὴ φαμεν τὰ παραδεχόμενα τὴν ἀφήν.
τίτυπα δὲ, ἃ οὐκ εἴκει. Τοῦτο δὲ συμβαί-
παρὰ τὰς βάσεις αὐτῆς τῆς σωμάτων. Τὰ
γὰρ ἔχοντα μείζονας, μόνιμα καὶ ἑδραῖα.
δὲ ἐπὶ μικρῆς βεβῶτα, εὔκινητα καὶ μαλακὰ καὶ
ιπάβολα ὄντα τυγχάνει. Τραχὺ δὲ εἴη αὖ
ἀνώμαλον μετὰ σκληρότητος. Λεῖον δὲ τὸ
κλὸν μετὰ πυκνῆς. Τόγε μὴν ψυχρὸν καὶ θερμὸν
θος ἐναντιώτατα ὄντα ἐναντίοις αἰτίοις συνί-
ται. Τὸ μὲν γὰρ ὀξύτητι τῆς μερῶν καὶ ταχυ-
διαπέμνον τὸ θερμὸν πάθος ποιεῖ. Τὸ δὲ

ψυχρὸν ἀδρομερέστερον τῇ εἰσόδῳ, ἐξωθεῖτ
μὲν τὰ ἐλάττονα καὶ μικρὰ, βιαζομένων
ἐλθεῖν εἰς τὴν ἐκείνων ἕδραν. Σεισμὸς γα
τις καὶ τρόμος συνίσταται τότε, καὶ τὸ ἐπὶ
τῷ πάθος ἐν τοῖς σώμασι ῥῖγος ὑπάρχει.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ Κύφωνος, καὶ Βαρέων.

ΒΑρὺ δὲ καὶ κῦφον τὸ μὲν ἄνω καὶ κάτω
δαμῶς ὀνίζειν προσήκει. Οὐδὲν γὰρ
ναι τὸ μὲν ἄνω, τὸ δὲ κάτω. Τὸ δὲ παν
τὸς σφαιροειδὲς ὄντος, καὶ ἀπηκριβωμένω
μαλῶς κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, οὐκ ἐν δὲ
τὸ μὲν ἄνω, τὸ δὲ κάτω τινὰς ὀνομάζειν. Α
λὰ δὴ εἶναι βαρὺ μὲν τὸ χαλεπῶς εἰς τὸν π
ρὰ φύσιν τόπον ἐλκόμενον, κῦφον δὲ τὸ ῥαδία
Καὶ προσέτι βαρὺ μὲν τὸ ἐκ πλειόνων μερ
συγκείμενον, ἐλαφρὸν δὲ τὸ ἐξ ὀλιγίστων.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ Ἀναπνοῆς.

Ἀναπνέομεν δὲ τούτῳ τῷ τρόπῳ. Περιέστηκε μὲν ἡμῖν ἔξωθεν ἀὴρ πολύς, ὃς δὲ διὰ τε στόματος, καὶ τῆς ῥινῶν, καὶ διὰ τῆς ἄλλων τε σώματος πόρων, καὶ τῆς λόγῳ θεωρητῶν εἴσω χωρεῖ. Θερμανθεὶς δὲ εἰς τὰ ἔξω πρὸς τὸ συγγενὲς σπεύδει. Καὶ καθὸ αὖ μὴ ἐξείη, αὐτιπεριωθεῖ τὸν ἔξωθεν ἀέρα πάλιν εἰς τὸ ἐντός. Οὕτως ἀπαύστως τοῦτο τῷ κύκλῳ σωτελεμένῳ, ἡ ἀναπνοὴ, καὶ ἐκπνοὴ σωίσταται.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ αἰτιῶν τῆς Νόσων.

Νόσων δὲ αἰτίας εἶναι πολλάς. Πρῶτον μὲν τῶν τῆς στοιχείων ἔνδειαν καὶ ὑπερβολὴν, μεταίσασίντε εἰς ἄλλους ἐκ οἰκείας τόπους. Δεύτερον δὲ τῶν τῆς ὁμογενῶν ἀνάπαλιν γένεσιν· οἷον ἐκ σαρκὸς εἰ γένοιτο αἷμα, ἢ χολὴ, ἢ φλέγμα. Παῦτα γὰρ ταῦτα ὑδὲν ἄλλο, ἢ σωύπξιν εἶναι. Τὸ μὲν γὰρ φλέγμα ὑπάρ-

χειν νέαν σαρκὸς συύτηξιν. Ἱδρῶτα δὲ καὶ π
δάκρυον ὥσπερ ὀρρόν τινα φλέγματος. Τὸ δὲ φλέγ
μα ἔξωθεν μὲν ἀπολήφθεν, λδύκας καὶ ἀλφὰς ἀ
ποτεννᾶ. Εἴσω δὲ κεραθὲν χολῇ μελαίνῃ, τὴ
καλυμένην ἱερὰν νόσον ἐπάγει. Τὸ δὲ ὀξὺ κ
ἁλμυρὸν φλέγμα τῷ ὲν ῥίγει παθῶν αἴτιον
Πάντα δὲ τὰ φλεγμαίνοντα ὑπὸ χολῆς τοῦτο πά
σχοντι. Τὰ γὰρ μυελία πάθη καὶ πολύτροπα χο
λήτε καὶ φλέγμα ἀπεργάζεται. Τὸν μὲν δὴ συ
νεχῆ πυρετὸν γίνεσθαι τῷ πυρὸς πλεονάσαντος
τὸν δὲ ἐφημερινὸν τῷ ἀέρος, τριταῖον δὲ ὕδα
τος, τεταρταῖον δὲ γῆς.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τριῶν κυρίων δυνάμεων τῆς ψυχῆς.

Ἐξῆς δὲ καὶ περὶ ψυχῆς ῥητέον, ἐντεῦθεν
ποθεν ἀναλαβόντας τὸν λόγον, εἰ καὶ δό
ξομεν παλιλογεῖν. Ψυχὴν γὰρ παραλαμβά
νοντες αἰθρωπίνην ἀθάνατον ἔσαν, ὡς δέδε
μεν, παρὰ τοῦ πρώτου θεοῦ, οἱ τὰ θνητὰ γε
δημιεργοῦντες θεοὶ, δύο αὐτῇ προσέθεσαν μέρ
θνητά. Ὡς μὴ δὲ μὴ τῆς φλυαρίας τῆς θνη
τῆς ἀναπιμπλάμενον ἢ τὸ θεῖον αὐτῆς, καὶ ἀθά
νατον, κατῴκισαν ἐπὶ τὸ σώματος ἐπὶ τῆς

ροπέλεως ἄρχον καὶ βασιλεῦον ἀποφήναντες. ἐκ τούτου ἀποπειράσαντες αὐτῆς τοῦ κεφαλοῦ, ἐπεὶ ἐχισαν μιμούμενον τὸ τῆς παστός. Τὸ πίθηκον τὸ ἄλλο σῶμα πρὸς ὑπηρεσίαν ὡς ὄχημα διασφίσαντες, καὶ αὐτοῖς δὲ τοῖς θηρίοις αὐτῆς ἐπιθέσιν ἄλλην ἄλλῃ ἀποδείκνυσιν. Τὸ μὲν γὰρ θηλυκὸν ἔταξαν ἐν καρδίᾳ· τὸ δὲ ἐπιθυμητικὸν ἐν τῇ μεταξὺ τόπῳ, τοῦτο πρὸς τὸν ὀμφαλὸν ἅπτεται καὶ τῇ ἧπατι· καταδήσαντες ἀσπαράσσοντα, καὶ ἄγριον θρέμμα. Τὸν πνεύμονα δὲ ἐκχαυήκασιν τῆς καρδίας χάριν μαλακότητος καὶ ἀμφιον, συρραφάδητε καὶ σπόγγῳ παραπλήσιον, ἵνα ἔχῃ μάλαγμα πηδῶσα ἡ καρδία κατὰ τοῦτο ἐν τῷ θυμῷ. Τὸ δὲ ἧπαρ πρὸς τὸ δακνείρειν ἐπιθυμητικὸν τῆς ψυχῆς, καὶ πρὸς τὸ κατακαύνειν ἔχον γλυκύπικρόν τε καὶ πικρόπικρον. Καὶ τοῦτο πρὸς τὸ δοκεῖν εἶναι δικὴ τῆς ὀνειράτων μαντικήν. Ἐμφαίνεσθαι γὰρ ἐν αὐτῷ δικὴ τὸ λεῖον καὶ αὐγὴν καὶ λαμπρὸν εἶναι ἐπὶ τῷ τὰ φερομένην δύναμιν. Τὸν δὲ σπλῆνα τῷ ἥκιστα χαίρειν, ὅπως διαίρηται αὐτὸ καὶ παρέχῃ λαμπρόν. Τὰς γὰρ ἐγκαυμούσας ἕκτισαν πάσσον περὶ τὸ ἧπαρ δοκοὺς εἰς ταυτὸν δέχεσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ Διαιρέσεως τῆς μερῶν τῆς ψυχῆς.

Ὅτι δὲ τεμερής ἐστιν ἡ ψυχὴ κατὰ τὰς δυνάμεις, καὶ κατὰ λόγους τὰ μέρη αὐτῆς τόποις ἰδίοις διανενέμηται μάθημεν ἀπ' ἐνθένδε. Πρῶτον μὲν δὴ τὰ φύσει χωριζόμενα ἕτερα ὑπάρχει. Φύσει δὲ χωρίζεται τὸ παθητικὸν, καὶ λογιστικόν. Εἶναι τὸ μὲν περὶ τὰ νοητά ἐστι, τὸ δὲ περὶ τὰ λυπηρὰ καὶ ἡδέα. Προστίθει τῷ παθητικῷ καὶ περὶ τὰ ζῶα ὄντος, ἕπεται μὲν ἕτερα ἄττα φύσει τό, τε παθητικὸν, καὶ λογιστικὸν, καὶ τόπους ὀφείλει κεχωρίσθαι. Εὐείσκεται γὰρ μαχόμενα ἀλλήλοις, ὅτε αὐτῷ τινος πρὸς αὐτὸ μάχεσθαι δυναμένω, ὅτε τῷ ἐναντιουμένων πρὸς ἄλληλα περὶ τὸ αὐτὸ κατὰ τὸν αὐτὸν χρόνον δυναμένων συστῆναι. Ὁρᾶται δέγε ἐπὶ μὲν τῆς Μηδείας ὁ θυμὸς λογισμῷ μαχόμενος, λέγει γὰρ τὸ, Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακὰ, Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων. Ἐπὶ δὲ τῷ Λαΐῳ τὸν Χρύσιππον ἁρπάζοντος ἐπιθυμία λογισμῷ μαχομένη· Λέγει γὰρ ὅπως, Αἰ, αἰ, τὸ δὲ θεῖον ἐν ἀνθρώποις κακὸν, ὅταν τις εἰδῇ τ' ἀγαθὸν, χρῆται δὲ μή. Ἔτι δὲ τὸ ἕτερον εἶναι τὸ πα-

παθητικὸν τῦ λογιστικῦ παρίσαται, καὶ τὸ ἑπέρας μὲν ἐπιμέλειαν εἶναι τῦ λογιστικῦ, ἑτέρας δὲ τῦ παθητικῦ· τῦ μὲν διὰ διδασκαλίας, τῦ δὲ διὰ τῆς τῦ ἤθους ἀσκήσεως.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Περὶ Ἀθανασίας τῆς ψυχῆς.

Τὴν δὲ ψυχὴν ἀθάνατον ἀποφαίνει τῶν ἐπιῶν τὸν τρόπον. Ἡ ψυχὴ ὅτῳ ἂν προσγένηται, ἐπιφέρει τῶτῳ τὸ ζῆν, ὡς σύμφυτον ὑπάρχον ἑαυτῇ· Τὸ δὲ ἐπιφέρον τινὶ τὸ ζῆν, ἀνεπίδεκτόν ἐστι θανάτε. Τὸ δὲ τοιῦτο ἀθάνατον. Εἰ δὲ ἀθάνατον ἡ ψυχὴ, καὶ ἀνώλεθρον ἂν εἴη. Ἀσώματος γὰρ ἐστὶν ὑσία, ἀμεταβλητος κατὰ τὴν ὑπόστασιν, καὶ νοητὴ, καὶ ἀειδὴς, καὶ μονοειδής. Οὐκῦν ἀσύνθετος, ἀδιάλυτος, ἀσκέδαστος. Τὸ δὲ σῶμα παῦ τἐναντίον, αἰσθητὸν, ὁρατὸν, σκεδαστὸν, σύνθετον, πολυειδές. Καὶ γὰρ δὴ καὶ ἡ ψυχὴ, διὰ μὲν τῦ σώματος πρὸς τὴν αἴσθησιν γινομένη, ἐλιγγιᾷ τε καὶ παράττεται, καὶ οἷον μεθύει. Πρὸς δὲ τὴν νοησιν, αὐτὴ καθ' αὑτὴν γινομένη, καθίσαται καὶ ἡρεμεῖ. Πρὸς ὃ δὲ γινομένη παράττεται, τῶτῳ ἐκ ἔοικεν, ὥστε μᾶλλον τῷ νοητῷ ἔοικε. Τὸ δὲ νοητὸν ἀσκέδαστον τῇ φύ-

σει,

σει, καὶ ἀνώλεθρον. Καὶ μὲν ἡγεμονεύει ἡ
καὶ φύσει· Τὸ δὲ τῇ φύσει ἡγεμονικὸν τῷ θ
ἔοικεν· Ὥστε ψυχὴ τῷ θείῳ ἐοικυῖα ἀνώλεθ
αὖ εἶη καὶ ἄφθαρτος. Τά τε ἄμικτα ἐναντία
μὴ καθ' αὑτὰ, ἀλλὰ κατὰ συμβεβηκὸς πέφυ
ἐξ ἀλλήλων γίνεσθαι. Ἐναντίον δὲ τοῦτο, ὃ
λεῖσιν οἱ ἄνθρωποι ζῆν τῷ τεθνάναι. Ὡς δ
θανάτου διάκρισις ψυχῆς ἀπὸ σώματος, ἔπ
καὶ ζωὴ σύνοδος ψυχῆς, ἧσις δηλονότι πρόσθ
καὶ σώματος. Εἰ δὲ μὴ ἔσται μετὰ θάνατον μὴ
πρὸ τοῦ περιπεσεῖν σώματι, πιθανώτατον, εἶ
αὐτὴν εἶναι· ἐ γὰρ οἴόντε ἔτι τὸ φθεῖρον αὐ
νοῆσαι. Εἴτε μὲν αἱ μαθήσεις ἀναμνήσεις εἰ
ἀθάνατος αὖ εἶη ἡ ψυχή. Ὅτι δὲ αἱ μαθή
ἀναμνήσεις, τῶνδ' ἂν ἐπιχειρήσειεν τὸν τρόπ
Οὐ γὰρ ἂν ἄλλως μάθησις ὑποσαίη, ἢ κατὰ
ἀνάμνησιν τῆς πάλαι γνωσθέντων· Εἰ γὰρ
τῆς κατὰ μέρος ἐννοοῦμεν τὰς κοινότητας, πῶ
κατὰ μέρος διοδεύσαμεν ἄπειρα ὑπάρχοντα
Ἢ πῶς ἀπ' ὀλίγων; Διεφθάσθαμεν γὰρ
οἷον φέρε κείναντες τὸ ἀναπνεῖν χρώμενον μ
ζῶον εἶναι. Ἢ πῶς ἄρα τὸ ἀρχικὸν εἶσω
νοιαι; Ἀναμνησικῶς ἔν νοοῦμεν ἀπὸ μικρῶν
θυμημάτων, ἀποτείνων κατὰ μέρος ὑποπτεύ
ἀναμιμνησκόμενοι τῆς πάλαι ἐγνωσμένων,
λήθῃ ἐλάβομεν ἐνσωματωθέντες. Ἔτι ἡ

ὑ φθείρεται ὑπὸ τῆς ἰδίας κακίας, ὐδὲ ὑπὸ
ς ἄλλυ φθείροιτ' ἂν, ὐδ' ἁπλῶς ὑπ' ἄλλυ.
ὕπω δὲ ἔχυσα, ἄφθαρτος ἂν εἴη. Τόγε μὲν
ἀτοκίνητον, ἀρχικῶς ἀεικίνητον· Τὸ δὲ τοιῦ-
ἀθανάτου. Αὐτοκίνητον δὲ ἡ ψυχή. Τὸ δὲ
ἀτοκίνητον ἀρχὴ πάσης κινήσεως ϗ γενέσεως·
ρχὴ δὲ ἀγένητον ϗ ἀνώλεθρον. Ὥστε ἡ τῶν
ων ψυχὴ, τοιαύτη ἂν εἴη ϗ ἡ ἀνθρωπίνη, τῶ
τῦ γε κράματος ἀμφότεραι μεταλαβεῖσαι. Αὐ-
κίνητον δὲ φησι τὸν ψυχὸν, ὅτι σύμφυτον ἔ-
ι τὸν ζωὸν ἀεὶ ἐνεργοῦσαν καθ' αὑτήν. Ὅτε
ὲν ἐν αἱ λογικαὶ ψυχαὶ ἀθάνατοι ὑπάρχυσι
πὶ τὸν ἄνδρα τῦτον βεβαιώσαιτ' ἄντις. Εἰδὲ
ἡ αἱ ἄλογοι, τῦτο τῶν ἀμφισβητυμένων ὑπάρχει.
ιθανὸν γὰ τὰς ἀλόγυς ψυχὰς ψιλῶ τε φαντα-
ᾳ ἐλαυνομένας, ϗ ὅτε λογισμῶ, ὅτε κείσεω
ρωμένας, ὅτε θεωρήμασι ϗ τῆ τύπων συναγω-
ῆ, ὅτε κακωτικαῖς διαλήψεσι, παντελῶς δὲ
συναίτυς ὔσας, ϗ τῆς τοιᾶς φύσεως, μήτε τῆς
ὑτῆς ὐσίας εἶναι ταῖς λογικαῖς, θνητάς τε ϗ
θαρτὰς ὑπάρχειν. Τῶ δὲ ἀθανάτυς εἶναι τὰς
υχὰς λόγῳ, ἠκολέθησε τὸ εἰσκρίνεθαι αὐτὰς
ῖς σώμασι, παρεμφυομένας ταῖς τῶν ἐμβρύων
απλαςικαῖς φύσεσι· καὶ διαμείβειν πολλὰ σώ-
τα; ϗ ἀνθρώπινα, ϗ εἰς ἀνθρώπινα, ἢ ἀ-
θμὰς μεταβάσας, ἢ βελτίσεα θεῶν, ἢ δὲ ἀνω-
λα-

λασίαν, ἢ διὰ φιλοσωματίαν. Ἔχει δ' ὅπως ἂν κειόπτα πρὸς ἄλληλα σῶμα καὶ ψυχὴ, ὡς πῦρ καὶ ἄσφαλτος. Καὶ ἡ θεῶν δὲ ψυχὴ κέκτηται καὶ αὐτὴ τό, τε κεστικὸν, ὃ καὶ γνωστικὸν ἄν τις καλοῖτο, καὶ μιμὴ καὶ τὸ ὁρμητικόντε, ὃ καὶ παρασατικὸν ἄν τις ὀνομάσειε, καὶ τὸ οἰκειωτικὸν, αἵτινες δυνάμεις ἔσαι καὶ ἐν ταῖς ἀνθρωπίναις ψυχαῖς, μετὰ τὸ ἐνσωματωθῆναι, οἷον μεταβολὴν λαμβάνουσιν. Ἡ μὲν οἰκειωτικὴ εἰς τὸ ἐπιθυμητικὸν, ἡ δὲ ὁρμητικὴ εἰς τὸ θυμοειδές.

ΚΕΦΑΛΑΙΟΝ Κς'.

Περὶ Εἱμαρμένης, καὶ αὐτεξουσίου.

Περὶ δὲ Εἱμαρμένης τοιαῦτά τινα τῷ ἀνδρὶ ἀρέσκει. Πάντα μὲν φησιν ἐν εἱμαρμένῃ εἶναι, ἃ μὲν πάντα καθείμαρται. Ἡ γὰρ εἱμαρμένη νόμῳ τάξιν ἐπέχουσα οὐχ οἷον λέγει, ὅτι ὁ μὲν τάδε ποιήσει, ὁ δὲ τάδε πείσεται. Εἰς ἄπειρον δὲ τοῦτο. Ἀπείρων μὲν ὄντων τῶν γενομένων, ἀπείρων δὲ τῶν περὶ αὐτὰ συμβαινόντων. Ἐπεὶ καὶ τὸ ἐφ' ἡμῖν οἰκήσεται, καὶ ἔπαινοι καὶ ψόγοι, καὶ πᾶν τὸ τοῖς παραπλήσιον. Ἀλλ' ὅτι εἴτις αὖ ἕλοιτο ψυχὴ τοιοῦτον βίον καὶ τάδε τινὰ πράξει, τάδε τινὰ αὐτῇ ἕψεται. Ἀ δὲ-

ἕκαστον ἔν ἡ ψυχὴ, καὶ ἐπ' αὐτῇ μὲν τὸ πρᾶξαι ἢ μὴ, καὶ ἀ καταναγκάσαι αὐτό. Τὸ δὲ ἑπόμενον τῇ τάξει καθ' εἱμαρμένην συντελεσθήσεται. Οἷον τῷ, Πάεις ἁρπάσειτιλὶ Ἑλένῃλω, ἐπ' αὐτῷ ὄντι, ἀκολουθήσει τὸ, πολεμήσουσι Τρώεσσι περὶ τῆς Ἑλένης οἱ Ἕλληνες. Οὕτω γὰρ καὶ ὁ Ἀπόλλων τῷ Λαΐῳ προεῖπεν, Εἰ γὰρ τεκνώσεις παῖδ' ἀποκτενεῖ σ' ὁ φύς. Ἐν τῷ θεσμῷ δὴ περιέχεται μὲν καὶ ὁ Λάϊος καὶ τὸ φύσαι αὐτὸν παῖδα, καθείμαρται δὲ τὸ ἑπόμενον. Ἡ δὲ τῶ δυνατῶ φύσις πέπτωκε μεσόπως μεταξὺ τῶτε ἀληθοῦς καὶ τῶ ψεύδους, ἀορίςῳ δὲ ὄντι αὐτῷ τῇ φύσει ὥσπερ ἐποχεῖται τὸ ἐφ' ἡμῖν. Οὗ δ' ἂν ἑλομένων ἡμῶν γένηται, τῶτο ἔσαι ἢ ἀληθὲς, ἢ ψεῦδος. Τὸ δὲ δυνάμει, τῶτο τῶ καθ' ἕξιν καὶ κατ' ἐνέργειαν λεγομένω διήνεγκε. Τὸ μὲν γὰρ δυνάμει ἐπιτηδειότητά τινα ἀποσημαίνει πρός τινα ἄπω τιλὶ ἕξιν ἔχοντα· ὡς ὁ παῖς δυνάμει ῥητόρευσεται καὶ γραμματικὸς, καὶ αὐλητὴς, καὶ τέκτων. Ἔσαι δὲ τὸ τηνικάδε ἐν ἕξει ἑνός τινος, ἢ δυοῖν τούτοιν, ὁπόταν μάθῃ καὶ κτήσεταί τινα τῶν ἕξεων. Κατ' ἐνέργειαν δὲ, ὁπόταν ἐνεργῇ ἀπὸ τῆς ἕξεως ἐκείνης, λιὶ κέκτηται. Τὸ δὲ δυνατὸν ὑδὲν τούτων· ἀόριςον δὲ ὂν τὸ ἐφ' ἡμῖν κατὰ τιλὶ ἐφ' ὁπότερον ῥοπιλὶ, λαμβάνει τὸ ἀληθεύειν, ἢ μή.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Περὶ Ἀγαθῶν, καὶ μεγίστου ἀγαθοῦ, καὶ περὶ ἀρετῶν.

Ἐκ δὲ τῶν ἐπὶ κεφαλαίου περὶ τοῦ ἠθικῶς τοῦ ἀνδρὸς εἰρημένων ῥητέον. Τὸ μὲν δὴ τι μιώτατον καὶ μέγιστον ἀγαθὸν, ἔστε δύρεῖν ὥστο εἶναι ῥάδιον, ἔστε δύρόπας ἀσφαλὲς εἰς πάντας ἐνφέρειν. Πάνυ γὰρ ὀλίγοις τῶν γνωρίμων, καὶ τοῖγε προκειθεῖσι τὰς περὶ τοῦ ἀγαθοῦ ἀκροάσεως μετέδωκε. Τὸ μέντοι ἡμέτερον ἀγαθὸν εἴτις ἀνειβῶς αὐτοῦ τὰ συγγράμματα ἀναλάβοι, εὑρήσει τὸ ἐν τῇ ἐπιστήμῃ καὶ θεωρίᾳ τοῦ πρώτου ἀγαθοῦ. Ὅπερ θεόντε καὶ νῦν τὸν πρῶτον προσαγορεύσαμεν. Πάντα γὰρ τὰ ὁπωσοῦν παρ' ἀνθρώποις ἀγαθὰ νομιζόμενα, ταύτης ὑπολάμβανε τυγχάνειν τῆς προσρήσεως τῷ ὁπωσοῦν μετέχειν ἐκείνου τοῦ πρώτου, καὶ τιμιωτάτου· ὅνπερ τρόπον καὶ τὰ γλυκέα, καὶ τὰ θερμὰ κατὰ μετουσίαν τοῦ πρώτου τινὸς ἐπωνυμίαν ἔχειν. Μόνα δὲ τοῦ ἐφ' ἡμῖν ἐφικνεῖσθαι αὐτοῦ τῆς ὁμοιότητος νοῦν καὶ λόγον. Διὸ καὶ τὸ ἡμέτερον ἀγαθὸν καλὸν εἶναι, καὶ σεμνὸν, καὶ θεῖον καὶ ἐράσμιον, καὶ σύμμετρον, καὶ δαιμονίως πως κεκοσμῆσθαι. Τῶν δὲ λεγομένων ὑπὸ τῶν πολλῶν

γε

ναθῶν, οἷον ὑγείας, κάλλους τε καὶ ἰσχύος καὶ πλούτου καὶ τῆς παραπλησίων, μηδὲν εἶναι παθάπαξ ἀγαθὸν, εἰ μὴ τύχοι τῆς ἀπὸ τῆς ἀρετῆς χρήσεως. Χωριζόμενα γὰρ ταῦτα, ὕλης μόνον ἐπέχειν τάξιν, πρὸς καιρὸν γινόμενα τοῖς φαύλως αὐτοῖς χρωμένοις. Ἔνθ' ὅτε δὲ αὐτὰ καὶ ὄντα ὠνόμαζεν ἀγαθά. Τὴν δ' εὐδαιμονίαν οὐκ ἐν τοῖς ἀνθρωπίνοις ἡγεῖτο εἶναι ἀγαθοῖς, ἀλλ' ἐν τοῖς θείοις τε καὶ μακαρίοις. Ὅθεν δὴ καὶ μεγάλων τε καὶ θαυμασίων τὰς τῷ ὄντι φιλοσόφους ψυχὰς ἐνόμισεν ἀναμίμνησις, καὶ μετὰ τὴν τοῦ σώματος διάλυσιν συνουσίας θεοῖς γινομένας, καὶ συμπεριπολήσας, καὶ τὸ τῆς ἀληθείας πεδίον θεασάμενος. Ἐπεὶτοίνυν καὶ ἐν τῷ ζῆν ἐφίετο τῆς ἐπιστήμης αὐτῆς ἃ τὴν ἐπιτήδευσιν αὐτῆς προτιμῶν, ἀφ' ἧς ὥσπερτι ὄμμα ψυχῆς ἐκκαθηραμένης καὶ ἀναζωπυρήσαντας ἀπολλύμενόν τε καὶ ἀποτυφλούμενον, κρεῖττον ἦν σωζεσθαι μυρίων ὀμμάτων δυνατὸς γίνεσθαι ἐπιρρέασθαι τῆς τοῦ λογικοῦ παντὸς φύσεως. Ἐμαίνετο δὲ τοὺς ἄφρονας τοῖς ὑπὸ γῆν ἀνθρώποις κατωκισμένοις, καὶ φῶς μὲν λαμπρὸν μηδέποτε ἑωρακόσιν, ἀμυδρὰς δέ τινας σκιὰς ὁρῶσι τῶν παρ' ἡμῖν σωμάτων· οἰομένοις δὲ σαφῶς ἀντιλαμβάνεσθαι τῶν ὄντων. Ὡς γὰρ τὰς τυφλοὺς τῆς ἐκ τοῦ ζόφου ἀνόδου, καὶ εἰς τὸ καθαρὸν φῶς προελθόντας ἀλόγως καταγινώσκεσθαι τῶν τότε

φα-

φανέντων, καὶ πολὺ πρόθυμον ἑαυτὸν ὡς ἔξη
μενόν· οὕτω δὲ καὶ τὰς ἀπὸ βιωτικῆς ζόφο
ταβαίνοντας ἐπὶ τὰ κατ' ἀλήθειαν θεῖα κ
λά, τῇ μὲν πάλαι θαυμαθέντων αὐτοῖς
φρονήσειν, τῆς δὲ τύπων θεωρίας σφοδροτέ
ξειν ὄρεξιν. Οἷς σύνοιδόν ἐσι τὸ λέγειν αὐτ
νον εἶναι τὸ καλὸν ἀγαθὸν, καὶ τιμὴ ἀρετῆ
πάρχη πρὸς εὐδαιμονίαν. Καὶ διότι μεῖ
γαθὸν ἐν ἐπισήμῃ τῇ πρώτῃ, καὶ καλὸν ἐσι
ὅλων συντάξεων δεδήλωται. Τὰ δὲ κατ
τοχεῖ ἐν τῇ πρώτῳ τῆς νόμων ὕποπος.
τὰ δὲ ἀγαθά ἐσι, τὰ μὲν ἀνθρώπινα,
θεῖα, καὶ τὰ ἐξῆς τούτοις. Εἰ δέ τι κεχ
μένον καὶ τῇ πρώτῃ τῆς οὐσίας ἀμέτοχον ὑπά
κῃ τοῦτο ὑπὸ τῶν ἀνοήτων ἀγαθὸν ἀνόμασαι
το δὲ φησι μεῖζον εἶναι τῇ ἔχοντι κακὸν ἐν τ
ψυδήμῳ. Ὅτι δὲ καὶ τὰς ἀρετὰς ἡγεῖτο εἶ
αὐτὰς αἱρετὰς, ὡς ἀκόλουθόν γε λεπτέον,
νον αὐτὸν ἡγεῖσθαι τὸ καλὸν ἀγαθὸν, καὶ
πλείοσις τοῦτο αὐτῷ ἐπιδέδεικται, καὶ μάλι
ὅλῃ τῇ Πολιτείᾳ. Τὸν μὲν γὰρ ἐπισήμῳ
τε τιμῇ προειρημένῳ δύτυχέσατον εἶναι καὶ
μονέσατον, οὐχ ἕνεκα τῆς τιμῶν, ὧν τοῖς
λήψεται, οὐδὲ μισθῶν ἕνεκα, ἀλλὰ κἂν τ
λανθασθῇ ἀνθρώπους, κἂν τὰ λεγόμενα κα
ναι, οἷον ἀτιμίαι καὶ φυγαὶ καὶ θάνατοι σ

νωσι. Τὸν δὲ χωρὶς ταύτης τῆς ἐπιστήμης τὰ νομιζόμενα ἀγαθὰ πάντα κεκτημένον, οἷον πλοῦτον καὶ βασιλείαν μεγάλην, καὶ σώματος ὑγείαν καὶ ὡραιότητα καὶ κάλλος, μηδενὸς μᾶλλον εἶναι εὐδαίμονα. Οἷς πᾶσιν ἀκόλουθον τέλος ἕξεσθαι, ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατόν. Ποικίλως δὲ τοῦτο πειρᾶται ἐπιχειρεῖζειν. Ποτὲ μὲν γὰρ ὁμοίωσιν θεῷ λέγει τὸ φρόνιμον καὶ δίκαιον καὶ ὅσιον εἶναι, ὡς ἐν Θεαιτήτῳ. Διὸ καὶ πειρᾶσθαι χρῆναι ἐκεῖσε ἐνθένδε φεύγειν ὅτι τάχιστα. Φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· Ὁμοίωσιν δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Ποτὲ δὲ τὸ μόνον δίκαιον εἶναι, ὡς ἐν τῷ τελευταίῳ τῆς Πολιτείας. Οὐ γὰρ δὴ ὑπὸ θεῶν ποτε ἀμελεῖται, ὃς ἂν προθυμεῖσθαι θέλει δίκαιος γενέσθαι, καὶ ἐπιτηδεύειν ἀρετὴν εἰς ὅσον δυνατὸν τὸν ἄνθρωπον ὁμοιοῦσθαι θεῷ. Ἐν δὲ τῷ Φαίδωνι ὁμοίωσιν θεῷ λέγει τὸ σώφρονα ἅμα καὶ δίκαιον γενέσθαι ὅλως· εἶναι δ' εὐδαιμονέστατοι ἔφη τοὺς μακαρίους εἰσὶ καὶ εἰς βέλτιστον τόπον ἰόντες, οἱ τὴν δημοτικὴν τε καὶ πολιτικὴν ἀρετὴν ἐπιτετηδευκότες, ἣν καλοῦσι σωφροσύνην τε, καὶ δικαιοσύνην. Ποτὲ μὲν δὴ τὸ τέλος ὁμοιωθῆναι θεῷ λέγει, ποτὲ δὲ ἕπεσθαι, ὡς ὁπόταν εἴπῃ· ὁ μὲν δὴ θεὸς, ὥσπερ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ τελευτὴν, καὶ τὰ πάντα ἔχει. Ποτὲ δὲ ἀμφότερα,

ὡς ὁπόταν φῇ · τιμὴ δὲ θεῷ ἑπομένῃτε ,
κασμεῖλιν ψυχῇ , καὶ τὰ τέτοις ἑξῆς . Καὶ
τοι τῆς ὠφελείας ἀρχὴ τὸ ἀγαθὸν , τῦτο δ
θεῦ εἴρηται . Ἀκόλυθον ἦν τῇ ἀρχῇ τὸ τέλ
αὖ , τὸ ὁμοιωθῆναι Θεῷ , Θεῷ δηλονότ
ἐπερανίῳ , ἢ τῷ μὰ Δία ὑπερερανίῳ , ὃς ε
ρετικὸ ἔχει , ἀμείνων δ' ἐστὶ ταύτης . Ὅθεν ὁ
αἴτις φαίη , τιμὴ μὲν κακοδαιμονίαν τῦ Δαί
εἶναι κάκωσιν · τὴν δ' εὐδαιμονίαν τῦ Δαί
δύξίαν . Ἐφικοίμεθα δ' αὖ τῦ γενέσθαι ὅμοιοι
φύσεις τε χρησάμενοι τῇ προσηκέσῃ , ἐθισίτε
γωγῇ , καὶ αἰσθήσει τῇ κατὰ νόμον , καὶ τὸ κα
τατον λόγῳ , καὶ διδασκαλίᾳ , καὶ θεωρημάτων
ραδόσει . Ὡς τε ἐξίεσθαι μὲν τὰ πολλὰ τῇ
θρωπίνων πραγμάτων , ἀεὶ δὲ εἶναι πρὸς
νοητῆς . Προτέλεια δὲ καὶ προκαθάρσια τῦ ἐ
μὶν δαίμονος , εἰ μέλλοιμεν τὰ μείζω μυε
μαθήματα , εἶη αὖ τὰ διὰ μυσικῆς καὶ ἀριθμ
κῆς τε καὶ ἀστρονομικῆς καὶ Γεωμετρίας . Συνεκ
λυμενῶν ἡμῶν καὶ τῦ σώματος διὰ γυμναστικ
ἥτις καὶ πρὸς πόλεμον καὶ πρὸς εἰρήνην ὠφελι
σώματα παρασκευάζει .

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ ὅρου, καὶ διαιρέσεως τῆς Ἀρετῆς.

Εἶτα δὲ χρήματος τῆς Ἀρετῆς ὑπαρχούσης, αὕτη μὲν ἐστὶ διάθεσις ψυχῆς τελεία καὶ βελτίστη, ἀγαθή, καὶ βέβαιον, καὶ σύμφωνον παρέχουσα τὸν ἄνθρωπον ἐν τῷ λέγειν καὶ πράττειν καθ' ἑαυτὸν καὶ πρὸς ἄλλους. Τῷ δὲ ἐν εἴδει αὐτῆς αἱ μὲν λογικαὶ αἱ δὲ περὶ τὸ ἄλογον αὐτῆς μέρος συνιστάμεναι, οἷον ἀνδρεία καὶ σωφροσύνη. Περὶ μὲν τὸ θυμικὸν τῆς ἀνδρείας συνισαμένης, περὶ δὲ τὸ ἐπιθυμητικὸν τῆς σωφροσύνης. Ἐπεὶ γὰρ ἄντος τοῦ θυμικοῦ καὶ τοῦ λογιστικοῦ, διάφορος αὖ εἴη καὶ ἡ ἑκάστου τελειότης. Τοῦ μὲν δὴ λογιστικοῦ μέρους τελειότης ἐστὶν ἡ φρόνησις, τοῦ δὲ θυμικοῦ ἡ ἀνδρεία, τοῦ δ' ἐπιθυμητικοῦ ἡ σωφροσύνη. Ἡ μὲν δὴ φρόνησις ἕξις ἐπιστήμη ἀγαθῶν καὶ κακῶν, καὶ ἀδιαφόρων. Ἡ δὲ σωφροσύνη τάξις περὶ τὰς ἐπιθυμίας καὶ τὰς ὁρμὰς, καὶ ἕως ἀπειθείαν αὐτῶν πρὸς τὸ ἡγεμονικόν, τοῦτο δὲ εἴη ἂν τὸ λογιστικόν. Ὅταν δὲ φῶμεν, πάσην εἶναί τινα καὶ ἀπειθείαν τὴν σωφροσυνίζουσαν τοιαύτην παρίσαμεν, ὅτι δύναμίς τις ἐστὶν, καθ' ἣν τεταγμένως καὶ ἀπειθῶς ἔχουσιν αἱ ὁρμὲς πρὸς

πρὸς τὸ φύσει διασωτικὸν, τυπέσι τὸ λογιστικόν.
αὐδεία ἐσὶ δόγματος ἐννόμου σωτηρία δεινῆ τε
δεινῆ, τυπέσι διασωσικὴ δύναμις δόγματος ἐν
Ἡ δὲ δικαιοσύνη ἐσὶ συμφωνία τις τῶν πρὸς
λα, δυνάμις τις ἴσα, καθ' ἣν ὁμολογεῖ καὶ σι
νεῖ πρὸς ἄλληλα τὰ τρία μέρη τῆς ψυχῆς,
κασον πρὸς τὸ οἰκεῖον γίνεται. Καὶ ἐπιβ
τίτε καὶ κακίαν, ὡς ἂν παπέλεκέ τις ἴσα τῇ
ἀρετῶν, φρονήσεως, αὐδείας, σωφροσύνης
χοντος μὲν τὸ λογισμῷ, τῷ δὲ λοιπῶν μερι
ψυχῆς κατ' οἰκείαν ἰδιότητα καπεσαλμενόν ὑ
λογισμῷ, καὶ πειθηνίων αὐτῷ γεγενημενόν
θεν καὶ αὐτακολυθεῖν ἡγηπέον τὰς ἀρετάς. Ἡ
αὐδεία δόγματος ἐννόμου διασωσικὴ ὑπάρχ
λόγῳ ὀρθῷ διασωσική ἐσι. Τὸ δὲ ἔννομον
μα, ὀρθός τις ἐσὶ λόγος. Ὁ δὲ ὀρθὸς λό
πὸ φρονήσεως γίνεται. Καὶ μὲν καὶ ἡ φρόνησ
πὸ αὐδείας ὑφίσαται, ἐπισήμη γάρ ἐσιν ἀγ
Οὐδεὶς δὲ δύναται τὸ ἀγαθὸν ὁρᾶν ἀπὸ δειλ
πισποιούμενος, καὶ τῶν συνακολυθούντων τῇ
παθῶν. Παραπλησίως δὲ μπὲ ἀκολασίας
μός τις δύναται εἶναι. Καὶ καθόλυ ὅσις δια
πάθαι ὑπὸ πάθυς ποιῆτι παρὰ τὸν ὀρθὸν λό
πὸ ἀμαθίας, καὶ ἀφροσύνης τῦτο πάχειν
αὐτὸν ὁ Πλάτων. Ὥςε οὐκ ἂν δύναιτό τις
σιν ἔχειν ἀκόλαστος ὢν καὶ δειλός.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ Ἀρετῶν καὶ κακιῶν, καὶ περὶ τῆς διαιρέσεων αὐτῶν.

Ἀκώλυτοι δέ εἰσιν αἱ ἀρεταὶ ἀλλήλων αἱ τέλειαι. Λέγονται δὲ καὶ ἄλλως ἀρεταί, οἷον φυταὶ καὶ προκοπαὶ πρὸς ταύτλιν ὁμωνυμῆσαι ταῖς τελειότησι κατὰ τὴν ὁμοιότητα τὴν πρὸς αὐτάς. Οὕτω γὰρ καὶ στρατιώτας ἀνδρείους τινὰς καλοῦμεν, καὶ φαμὲν ἐνίοτε ἀνδρείους τινὰς ὄντας ἄφρονας ὑπάρχειν, περὶ τῆς ἀ τελείων ἀρετῶν ποιούμενοι τὸν λόγον. Αἱ δὲ τέλειαι ἀρεταὶ δῆλον, ὅτι οὐδὲ ἐπιτείνονται, οὐδὲ αὐξάνονται. Αἱ μέντοιγε κακίαι καὶ ἐπίτασιν δέχονται, καὶ ἄνεσιν· ἄλλος γὰρ ἄλλου ἀφρονέστερος, καὶ ἀδικώτερος. Ἀλλ' οὐδὲ συμπορεύονται αἱ κακίαι ἀλλήλαις· εἰσὶ γάρ τινες ἐναντίαι, ἃς οὐκ ἂν εἴη περὶ τὸν αὐτόν. Οὕτω γὰρ ἔχει θρασύτης πρὸς δειλίαν, καὶ ἀσωτία πρὸς φιλαργυρίαν. Καὶ ἄλλως ἀδύνατόν ἐστιν ὑφεστάναι τινὰ ἄνθρωπον πάσῃ κακίᾳ συνεχόμενον. Οὐδὲ γὰρ σῶμα οἱόντε εἶναι ἔχον πάσας τὰς τοῦ σώματος καταίας ἐν ἑαυτῷ. Παραδεκτέον δὲ καὶ μεταξύ τινα διάθεσιν, μήτε φαύλην, μήτε σπουδαίαν. Οὐδὲ πᾶσιν ἀνθρώποις ἢ σπουδαίους εἶναι, ἢ φαύλους

Τὰς δὲ ἐφ' ἱκανὸν προκόπτοντας τοιάτας εἶναι . (
δὲ ῥάδιον διὰτίως ἀπὸ καπίας ἐπ' ἀρετὴν μεταβ
ναι . Πολλὴν γὰρ εἶναι τὴν διάςασιν πρὸς ἄλ
λα τῶν ἄκρων ἢ ἐναντίωσιν . Ἡγητέον δὲ καὶ
ἀρετῶν , τὰς μὲν εἶναι προηγμένας , τὰς δὲ
πομένας . Ἡγμένας μὲν τὰς ἐν τῷ λογιςικῷ
ἀφ' ὧν καὶ αἱ λοιπαὶ τὸ τέλειον λαμβάνουσιν .
πομένας δὲ τὰς ἐν τῷ παθητικῷ . Αὗται γ
πράττωσι τὰ καλὰ κατὰ λόγον , ἀ τὸν ἐν αὐτοῖ
ὐ γὰρ ἔχουσιν , ἀλλὰ κατὰ τὸν ὑπὸ φρονήσεως
δεδομένον αὐταῖς , ὃς ἔθος ἐγγινόμενον καὶ α
κήσεως . Καὶ ἐπεὶ ὅτε ἐπιςήμη , ὅτε τέχνη
ἄλλῳ μέρει τῆς ψυχῆς σωίςαται , ἢ ἐν μόνῳ
λογιςικῷ · αἱ μὲν περὶ τὸ παθητικὸν ἀρεταὶ
ὑπάρχουσι διδακταί · ὅτι μηδὲ τέχναι , μηδὲ
πιςήμαί εἰσιν , ὐδὲ γὰρ ἔθος θεωρήματα ἔχουσι
Ἡ μέντοι φρόνησις ἐπιςήμη ὑπάρχουσα , τὰ
πεῖα ἑκάςῃ ἐνδίδωσιν , ὡς καὶ ὁ κυβερνήτης τ
ναύταις τινὰ ὑπαγορεύει ὑπ' αὐτῶν ἀγνοούμενα
οἱ δὲ πείθονται αὐτῷ . Ὁ δὲ αὐτὸς λόγος καὶ ἐ
ςρατιώτῃ , καὶ ςρατηγῷ . Ἐπιτεινομένων δὲ
αὐξομένων τῶν κακιῶν , ὐδὲ τὰ ἁμαρτήματα ἴ
αὐ εἰσι , ἀλλὰ τὰ μὲν μείζω , τὰ δὲ ἐλάττω
Οἷς ἀκολούθως καὶ παρὰ τῶν νομοθετῶν , τὰ μ
μᾶλλον κολάζεται , τὰ δὲ ἧττον . Καίτοιγε
ῥόπτες αἱ ἀρεταὶ ὑπάρχουσι, διὰ τὸ τελείας εἶ

Οὐ κ̀ ἐοικέναι τῷ δ'θεῖ. Κατ' ἄλλον τρόπον μεσότητες αὖ εἰσι, τῷ ὁρᾶσθαι περὶ πάσας, ἢ πάσγε πλείας, καθ' ἑκάστω ἑκατέρωθεν δύο κακίας, τὴν μὲν κατ' ὑπερβολήν, τὴν δὲ κατ' ἔνδειαν. Ὡς ἐπὶ τῆς ἐλευθεριότητος ὁρᾶται ἐπὶ θάτερα μὲν μικρολογία, ἐπὶ θάτερα δὲ ἀσωτία. Γίνεται γὰρ ἐν τοῖς πάθεσιν ἀμετρία κατὰ τὸ ὑπερβάλλειν τὸ προσῆκον, ἢ ἐλλείπειν. Οὔτε γὰρ ὁ μηδὲ γονέων ὑβριζομένων ὀργιζόμενος, ἀπαθὴς αὖτις εἶν, ἄτε ὁ ἐπὶ πᾶσι κ̀ τοῖς τυχοῦσι, μετριοπαθὴς, ἀλλὰ πᾶν τἐναντίον. Πάλιν δὲ ὁμοίως, γονέων τελευτησάντων, ὁ μὲν μὴ λυπούμενος, ἀπαθής· ὁ δ' ὥστε κ̀ καταφθίνειν ὑπὸ τῆς λύπης, ὑπερπαθής τε κ̀ ἀμετροπαθής· ὁ δὲ λυπούμενος μὲν, μετρίως δὲ τοῦτο πάσχων, μετριοπαθής. Καὶ μὴν ὁ παίτε φοβούμενος κ̀ πέρα τοῦ μετρίου, δειλός· ὁ δὲ μηδὲν φοβούμενος, θρασύς· Ἀνδρεῖος δὲ ὁ μετρίως ἔχων περίτε θαῤῥῆ κ̀ φόβους. Καὶ ἐπὶ τῆς ἄλλων ὁ αὐτὸς λόγος. Ἐπεὶ ἓν τὸ μὲν μέτριον ἐν τοῖς πάθεσι τὸ βέλτιστόν ἐστιν, κ̀ ἄλλο δέ ἐστι τὸ μέτριον, ἢ τὸ μέσον ὑπερβολῆς, κ̀ ἐλλείψεως, διὰ τοῦτο διὰ μεσότητος αἱ τοιαῦται ἀρεταὶ, διότι μέσως ἔχοντας ἡμᾶς ἐν τοῖς πάθεσι παρέχονται.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι ἡ μὲν ἀρετὴ ἑκούσιον, ἡ δὲ κακία ἀκούσιον.

Ἐπεὶ δὲ ἢ ἔστι ἄλλο ἐφ' ἡμῖν ἐς: ἢ ἀδέσποτον, ἢ ἡ ἀρετὴ τοιοῦτο ὑπάρχει. Οὐδὲ γὰρ ἂν ἐπαινετὸν ἦν τὸ καλὸν, ἢ ἐκ φύσεως, ἢ θείας μοίρας παρεγίνετο. Καὶ ἑκούσιον ἂν εἴη ἡ ἀρετὴ καθ' ὁρμήν τινα σωτηριαμόνη διάπυρον, ἢ γενναίαν, ἢ ἔμμονον. Τῷ δὴ τὴν ἀρετὴν ἑκούσιον εἶναι, ἕπεται τὸ τὴν κακίαν ἀκούσιον ὑπάρχειν. Τίς γὰρ ἂν ἑκὼν ἐν τῇ καλλίστῃ ἑαυτῆ μέρει ἢ τιμιωτάτῳ ἕλοιτο ἔχειν τὸ μέγιστον τῶν κακῶν; Εἰ δέ τις ἐπὶ κακίαν ὁρμᾷ, πρῶτον μὲν οὐχ ὡς ἐπὶ κακίαν αὐτὴν ὁρμήσει, ἀλλ' ὡς ἐπ' ἀγαθόν. Εἰ δὲ ἢ παραγίνεταί τις ἐπὶ κακίαν, παντως ὁ τοιοῦτος ἐξαπάται, ὡς δι' ἐλάττονός τινος κακοῦ ἀποικονομησόμενος μεῖζον ἀγαθὸν, ἢ ταύτῃ ἀκουσίως ἐλεύσεται. Ἀδύνατον γὰρ ὁρμᾷν ἐπὶ κακὰ, βουλόμενον ἔχειν αὐτὰ, ἢτε ἐλπίδι ἀγαθοῦ, ἢτε φόβῳ μείζονος κακοῦ. Καὶ ὅσα δὴ ἀδικεῖ ὁ φαῦλος, ἀκούσια ὑπάρχει. Τῆς γὰρ ἀδικίας ἀκουσίου ὄσης, πολλῷ μᾶλλον τὸ ἀδικεῖν ἀκούσιον ἂν εἴη, ὅσῳ ἢ μεῖζον κακὸν ἂν τυγχάνοι τὸ ἐνεργεῖν αὐτὸν κατὰ ἀδικίαν τοῦ ἔχειν αὐτὴν ἠρεμοῦσαν. Καίτοι ἀκου-

σίων ὄντων τῷ ἀδικημάτων, κολαστέον τὰς ἀ-
ξίνας, καὶ διαφόρως· αὗται γὰρ βλάβαι διάφο-
. Καὶ τὸ ἀκούσιον ἐν ἀγνοίᾳ τινὶ, ἢ πά-
κειται· Ἅπαντα δὲ τὰ τοιαῦτα ἕξεσιν ἀ-
είφασθαι καὶ λόγῳ, καὶ ἤθεσιν ἀρείοις, καὶ μι-
γῆ.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ Φιλίας.

ΦΙλία δὲ, ἡ μάλιστα καὶ κυρίως λεγομένη,
ἐκ ἄλλη τίς ἐστι, τῆς συνισαμένης κατὰ
ειαν αὐτίστροφον. Αὕτη δὲ ἐφίσταται, ὅταν ἑ-
ρης ἑκάτερος βούληται τὸν πλησίον καὶ ἀγα-
εῦ πράττειν. Ἡ δὲ ἰσότης αὕτη ἐκ ἄλλως
ἔσται, ἢ κατὰ γένη τὰ ἤθους ὁμοιότητα. Τὸ
ὅμοιον τῷ ὁμοίῳ μετρίῳ ὄντι φίλον ὑπάρχει·
δὲ ἄμετρα, ἔτε ἀλλήλοις, ἔτε τοῖς συμ-
φοροις δύναται ἁρμόσαι. Εἰσὶ δέτινες καὶ
αι νομιζόμεναι φιλίαι, ὑμῶν καὶ ἔσαι, ὑ-
τῆς ἀρετῆς ὥσπερ ἐπιπεχρωσμέναι· Ἤτε φυ-
ὴ τῶν γονέων πρὸς τὰ ἔκγονα, καὶ ἡ τῶν
γενῶν πρὸς ἀλλήλους, καὶ ἡ λεγομένη πολι-
ὴ, καὶ ἡ ἑταιρικὴ. Αὗται δὲ ἐκ ἀεὶ ἔχου-
τὸ ἀντίστροφον τῆς ὑποίας. Εἶδος δέπως φι-

λίας

λίας ἐστὶ καὶ τὸ ἐρωτικόν. Ἔστι δὲ ἐρωτικὴ ἡ
ἀστεία ἡ τῆς σπουδαίας ψυχῆς· ἡ δὲ φα
ὑ τῆς πανδήμου· μέση δὲ ἡ τῆς μέσως διακε
νης. Ὥσπερ οὖν τρεῖς εἰσιν ἕξεις ψυχῆς λ
κῶς ζῴου, ἡ μὲν ἀγαθή, ἡ δὲ φαύλη, τ
δὲ τούτων μέση· Οὕτω καὶ τρεῖς ἐρωτικαὶ
αὖ κατ' εἶδος ἀλλήλων διαφέρουσαι. Τὸ δ
ναι τρεῖς αὐτὰς, δηλοῦσι μάλιστα οἱ σκοποὶ
φέροντες ἀλλήλων· ἡ μὲν γὰρ φαύλη μόνη
σώματός ἐστι, τοῦ ἡδέως ὑπομένη, καὶ ταύτη
κιμαθὴς ὑπάρχουσα· Ἡ δὲ ἀστεία ψ
τῆς ψυχῆς ἕνεκεν, ἣ ἐπαφᾶται ἐπιστημόνης
ἀρετῆς· Ἡ δὲ μέση τοῦ συναμφοτέρου·
γουμένη μὲν τοῦ σώματος, ὑπερτερουμένη δὲ
κάλλους τῆς ψυχῆς. Ὁ δὲ ἀξιέρωτος καὶ α
μέσος τις ὑπάρχει, οὔτε φαῦλος ὢν, οὔτε ἀστε
Ὅθεν καὶ τὸν σωματοποιούμενον ἔρωτα δεί μονι
να φαυλότερα μᾶλλον, ἢ περ θεὸν, μηδέποτ
γηθέντα σώματι γεγενημένου, διαπορθμεύοντα
παρὰ θεῶν ἀνθρώπους, καὶ ἀνάπαλιν.
καὶ ἐν τῇ ἐρωτικῇ εἰς τὰς τρεῖς ἰδέας διηρ
σης τὰς προειρημένας· ἡ τοῦ ἀγαθοῦ ἐρωτικὴ
πλεγμένη πάθος τεχνική τις ὑπάρχει,
θος καὶ ἐν τῷ λογιστικῷ συνίσταται τῆς ψυ
Θεωρήματα δ' αὐτῆς τὸ γνῶναί τε τὸν ἀξιέρα
καὶ κτήσασθαι, καὶ χρήσασθαι. Ἐπινεύει δὲ

τοῦ ἐκ τῆς προθέσεως αὐτῷ καὶ ὁρμῶν, οἱ δι-
γενεῖς, οἱ ἐπὶ τὸ κακὸν γινόμενοι, οἱ σφοδραί-
τε καὶ διάπυροι. Κτῶνται δὲ αὐτὸν ὁ κτώμε-
νος, ὁ θρύπτων, ἀδὲ ἐπαινῶν τὸ παιδικὸ ἢ
ἀλλὰ μᾶλλον καλύων, καὶ ἐνδεικνύμενος, ὅτι ὁ
βαυτὸν αὐτῷ ὅπως ἔχοντι, οἷς νῦν ἔχει. Ὅπου
δ' ἕλῃ τὸν ἐρώμενον, χρῶνται αὐτῷ παρηγγωῶν
ταῦτα, δι' ὧν ἀσκητὴς ἔσαι τέλειος. Τέλος δὲ
αὐτοῖς τὸ, αὐτὸ ἐρᾶν καὶ ἐραμᾶσθαι, γενέσθαι
φίλους.

ΚΕΦΑΛΑΙΟΝ ΑΒ'.

Περὶ ἀδικίας, καὶ περὶ διαιρέσεως τῶν παθῶν.

Τοσοῦτον δὲ κακὸν ἀδικία, ὅσῳ φθαρτικώτε-
ρον εἶναι τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι. Τὸ
μὲν γὰρ πονηρὸν ἔργον· τὸ δὲ ἀδικεῖσθαι πά-
θος ἀνθρωπου. Αἰσχρὸν μὲν δὲ ἑκάτερον· Τὸ
δὲ ἀδικεῖν τοσούτῳ κάκιον, ὅσῳπερ καὶ αἴσχιον.
Ἀνιτέλει δὲ τῷ ἀδικοῦντι ὑπισχνεῖσθαι δίκην ὡς
καὶ τῷ νοσοῦντι ὑπισχνεῖσθαι ἰατρὸν τὸ σῶμα εἰς
θεραπείαν. Πᾶσα γὰρ κόλασις ἰατρεία τις ἐστὶν
ἁμαρτημάτων ψυχῆς. Ἐπεὶ δὲ αἱ πλεῖσαι ἁμαρ-
ταὶ περὶ πάθη γίνονται, διαιρετέον καὶ τὰ
τοῦ

τῶ πάθους ὁπωοῦν τι ὑπάρχει. Ἔστι τοίνυν
θος κίνησις ἄλογος ψυχῆς ὡς ἐπὶ κακῷ,
ἐπὶ ἀγαθῷ. Ἄλογος μὲν οὖν εἴρηται κίνη
ὅτι ὐ κρίσεις τὰ πάθη, ὐδὲ δόξαι, ἀλλ
ἀλόγων τῆς ψυχῆς μερῶν κινήσεις. Ἐν δ
παθητικῷ τῆς ψυχῆς σωμίζεται· ἃ ἡμ
ἔργα ὄντα, οὐκ ἐφ' ἡμῖν. Ἄκουσι γοῦν ἐν
ἐγγίνεται, πολλάκις δὲ κ' αὐτιτείνουσιν.
ὅτι δὲ κ' γινώσκοντες, ὅτι ὐ λυπρὰ τὰ
πεπωκότα, ὐδὲ ἡδέα, ὐδὲ μὴν φοβερὰ
δὲ ἧττον ἀγόμεθα ὑπ' αὐτῶν· οὐκ αὖ
δόντες ταῦτα, εἰ κρίσεσι τὰ αὐτὰ
Ταύτας γὰρ ἀποβάλλομεν καταγνόντες αὐ
εἴτε δόντως, εἴτε μὴ δόντως. Ἐπ' ἀγ
δὲ, ἢ ἐπὶ κακῷ, ἐπειδὴ κατ' ἔμφασιν
φόρᾳ πράγματος ὐ κινεῖται τὸ πάθος.
τε δὲ σωμίζεται ἢ κατὰ ἀγαθῦ ἔμφασιν
κακοῦ. Ἀγαθὸν γὰρ ἐὰν μὲν παρεῖναι ὑπ
βαμεν, ἡδόμεθα, ἐὰν δὲ μέλλειν, ἐπ
μῦμεν. Καὶ κακὸν ἐὰν μὲν παρεῖναι ὑπ
βαμεν, λυπόμεθα, τὸ δὲ μέλλον φοβ
θα. Ἔστι δὲ πάθη ἁπλῶς κ' στοιχειώδη
ἡδονὴτε, κ' λύπη, τ' ἄλλα δὲ ἐκ τούτων
πλασαι. Οὐ γὰρ σωαριθμητέον τούτοις
βον κ' ἐπιθυμίαν, ὡς ἀρχικὰ ὑπάρχοντα
ἁπλᾶ. Ὅ, τε γὰρ φοβούμενος ὐ πάντως

στέρηται ἡδονῆς· οὐδὲ γὰρ τὸν τυχόντα αὐτῆς διαγένοιτο χρόνον ἀπογινώσκων ἀπαλλαγὴν, ἢ κουφισμὸν τοῦ κακοῦ. Πλεονάζει μεσότης ἐν τῷ λυπεῖσθαι καὶ ἐχλεῖσθαι, καὶ διὰ τοῦτο συμπάσχει τῇ λύπῃ. Ὅ, τε ἐπιθυμῶν, ἐν προσδοκίᾳ μενῶν τοῦ πύξεσθαι, ἥδεται· οὐ παντελῶς δὲ θαρρῶν, οὐδ' ἔχων βέβαιον τὴν ἐλπίδα, ἄχθεται. Ἐπιθυμίας δὴ καὶ φόβου μὴ ὄντων ἀρχικῶν, ἀνενδιάτως συγχωρηθήσεται τὸ μηδὲν ἧττον ἄλλως τι παθῶν ἁπλῶν εἶναι, οἷον ὀργὴν λέγω καὶ πόθον καὶ ζῆλον, καὶ ὅσα τοιαῦτα. Ἐν τούτοις γὰρ ἐνορᾶται ἡδονὴ καὶ λύπη ὡς αὖ ἐκ τούτων μεμιγμένα. Τῶν δὲ παθῶν τὰ μὲν ἐστιν ἄγρια, τὰ δὲ ἥμερα. Καὶ ἥμερα μὲν ὅσα κατὰ φύσιν ὑπάρχει τῷ ἀνθρώπῳ· ἀναγκαῖα δὲ καὶ οἰκεῖα· οὕτω δὲ ἔχει ἕως αὖ σύμμετρα ὑπάρχοι, προσελθούσης δ' αὐτοῖς ἀμετρίας, ἡμαρτημένα ὑπάρξει. Τοιαῦτά ἐστιν ἡδονὴ, λύπη, θυμὸς, ἔλεος, αἰσχύνη. Οἰκεῖον γὰρ τὸ ἥσθῆναι ἐπὶ τοῖς κατὰ φύσιν, λυπηθῆναι δὲ ἐπὶ τοῖς ἐναντίοις. Καὶ μὲν θυμὸς πρὸς τὸ ἀμύνασθαι καὶ τιμωρεῖσθαι τὸς ἐχθροὺς ἀναγκαῖος. Ὁ δὲ ἔλεος οἰκεῖος φιλανθρωπίᾳ. Αἰσχύνη δὲ πρὸς ἀναχώρησιν ἀπὸ τῶν ἐχθρῶν ἐπιτήδειος. Ἄλλα δ' ἄγρια πάθη, ἅπερ παρὰ φύσιν ἐστὶν, οἷα δια-

σφο-

τροφῆς συσκώπτε, καὶ ἐθῶν μοχθηρῶν. Ταῦτα δὲ ὑπάρχει γέλωτος καὶ ἐπιχαιρεκακίᾳ, καὶ μισανθρωπίᾳ· ἃ καὶ ἐπιτεινόμενα, καὶ ἀνιέμενα, καὶ ὀπωσποτοῦν ἔχοντα, διημαρτημένα ὅπου τυγχάνει, μετριότητα μὴ δεχόμενα. Περὶ δὲ ἡδονῆς καὶ λύπης, φησὶν ὁ Πλάτων, ὅτι πάντα τὰ πάθη φύσει πως ἀρχῆθεν ἐν ἡμῖν κινηθέντα φέρεται, τῆς μὲν λύπης καὶ τῆς ἀλγηδόνος ἐπιγινομένων παρὰ φύσιν κινημάσοις, τῆς δ' ἡδονῆς εἰς τὸ κατὰ φύσιν ἀποκαθισαμένοις. Οἴεται δὲ κατὰ φύσιν κατάστημα εἶναι τὸ μέσον ἀλγηδόνος τε καὶ ἡδονῆς, ὑδετέρῳ ἐκείνων ὂν τὸ αὐτὸ, ἐν ᾧ καὶ τὸν πλείω χρόνον ὑπάρχομεν. Διδάσκει δὲ καὶ διότι πολλαί ἐσιν αἱ τῆ ἡδονῶν, τὰ μὲν διὰ τῦ σώματος, τὰ δὲ διὰ τῆς ψυχῆς. Τῶν δὲ ἡδονῶν τὰς μὲν μίγνυσθαι τοῖς ἐναντίοις· τὰς δὲ παραμένειν καθαράς τε καὶ εἰλικρινεῖς. Καὶ τὰς μὲν ἀναμνησικάς· τὰς δὲ μετ' ἐλπίδος γινομένας. Καὶ τὰς μὲν αἰσχρὰς, ὅσαι ἀκόλαστοί τε, καὶ μετὰ ἀδικίας· τὰς δὲ μετρίας, καὶ ἄλλως γέπως μετεχούσας τῦ ἀγαθῦ· οἷον πήγε δύφροσύνας τὴ ἐπὶ τοῖς ἀγαθοῖς, καὶ τὰς ἐν ταῖς ἀρεταῖς ἡδονάς. Περιγιγνῶν δὲ πολλῶν ἀδοκίμων ἡδονῶν, ἐ ζητέον εἰ τῆ ἁπλῶν ἀγαθῶν ἡ ἡδονὴ δύναται εἶναι. Ἐξίπλως γὰρ φαίνεται καὶ ἀδοκίμους ἀξίας ἐ-

γιγνομένη τῇ φύσει ὑπάρχουσα, καὶ ἡδονὴ ἀσιω-
πῆς, ἀδὲ προηγέμενον ἔχουσα, συνυπάρχουσά-
τε τῷ ἐναντίῳ. Μίγνυται γὰρ ἡδονὴ καὶ λύ-
πη. Οὐ γὰρ ἂν συνέβαινε τοῦτο, εἰ τὸ μὲν
ἁπλῶς ἦν ἀγαθὸν, θάτερον δὲ κακόν.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ Εἰδῶν τῆς Πολιτειῶν.

Τῶν δὲ Πολιτειῶν φησι τὰς μὲν ἐνυποθέ-
τους εἶναι, ἃς ἐν τῇ πολιτείᾳ διεξῆλθεν.
Ἐν δὲ ταύτῃ προτέραν μὲν ὑπέγραψε τὴν ἀπο-
λειμον, δευτέραν δὲ τὴν φλεγμαίνουσαν καὶ πολε-
μικήν. Ζητῶν τίνες ἂν εἶεν αἱ βέλτισται τάξεις,
πῶς ἂν συσταῖεν. Ἔστι δ' ὅπου παραπλησίως
ἡ διαιρέσει τῆς ψυχῆς καὶ ἡ πολιτεία διῃρη-
μένη τειχῇ, εἴτε τὰς φρουρὰς, καὶ εἰς τοὺς ἐπι-
κούρους, καὶ εἰς τοὺς δημιουργούς. Ὧν τοῖς μὲν τὸ
βουλεύεσθαι, καὶ ἄρχειν ἀποδίδωσι· τοῖς δὲ πρὸς
πολεμεῖν εἰ δέοι· ὃς κατὰ τὸ θυμοειδὲν ταχτέον,
ὥσπερ συμμαχοῦντας τῷ λογιστικῷ· τοῖς δὲ τὰς
τέχνας καὶ τὰς ἄλλας ἐργασίας. Τοὺς δὲ ἄρχον-
τας ἀξιοῖ φιλοσόφους εἶναι καὶ θεωρητικοὺς τοῦ πρώ-
του ἀγαθοῦ. Μόνως γὰρ ἂν οὕτω κατὰ τρόπον διοι-
κήσειν αὐτοὺς πάντα. Οὐ γάρ ποτε κακῶν λή-
ξειν

ξειν τὰ πράγματα τὰ ἀνθρώπινα, εἰ μὴ οἱ φ
λόσοφοι βασιλεύσειαν, ἢ οἱ λεγόμενοι βασ
λεῖς ἀπότινος θείας μοίρας ὄντως φιλοσοφήσειε
Ἄριστα γὰρ καὶ μετὰ δικαιοσύνης ὑπάρξειν π
πόλεις τὸ τοιοῦδε, ὅταν ἕκαστον μέρος αὐτ
νομῇ· Ὥστε προβαλλόμενον μὲν τοὺς ἄρχοντας
λακῆ· τοὺς δὲ συμμάχους τούτοις ὑπηρετεῖν κ
τόνων προμάχεσθαι· τούτοις δὲ εὐπειθῶς σ
πίπτεσθαι τοὺς λοιπούς. Πεύτε δέφησιν εἶναι π
λιτείας. Τίνι τε Ἀριστοκρατικῷ, ὁπόταν οἱ ἄρ
στοι ἄρχωσι. Καὶ δεύτερα τῷ Τιμοκρατικῷ
φιλοτίμων ὄντων τῶν ἀρχόντων. Καὶ τρίτῳ τῷ
Δημοκρατικῷ. Καὶ μετὰ τοῦτον τῷ ὀλιγαρ
χικῷ. Τελευταίαν δὲ τῷ Τυραννίδα, χειρ
στον ὑπάρχουσαν. Γράφει δὲ καὶ ἄλλας πο
λιτείας ἐξ ὑποθέσεως· Ὧν ἐστιν ἥτε ἐν τῇ
μοις, καὶ ἡ ἐκ διορθώσεως ἐν ἐπισολαῖς· ἣ
χρῆται πρὸς τὰς γενομένας πόλεις τὰς ἐν τοῖ
νόμοις, ἤδη καὶ τόπον ἀφωρισμένον ἐχούσας
καὶ ἀνθρώπους λογάδας ἀπὸ πάσης ἡλικίας,
ὥστε κατὰ τὰς διαφορὰς τῆς φύσεως αὐτῶν καὶ τ
τούτων, παιδείας τε οἰκείας δεῖσθαι καὶ ἀγωγῆ
καὶ ὁπλίσεως. Οἱ μὲν γὰρ παραθαλάττιοι
ναυτίλλοιντο αὖ καὶ ναυμαχεῖεν. Οἱ δὲ ἐν
σογείῳ οἰκοῦντες πρὸς πεζομαχίαν ἁρμόττοντ
αὖ καὶ ὅπλισιν· ἢ κυφοτέρους ὡς οἱ ὄρειοι· οἱ
βαρυ

βαρυτέρων ὡς οἱ ὁπλίταις οἰκοῦντες πεδίοις ἢ ἵπποις δ' αὐτῶν καὶ ἱππασίαν ἀν ἐπασκοῖεν. Ἐν πόλει δὲ τῇ πόλει κοινὰς εἶναι τὰς γυναῖκας νομοθετεῖ. Ἔστι δὲ ἡ πολιτικὴ ἀρετὴ θεωρητική τε καὶ πρακτικὴ, καὶ προαιρετικὴ τῶν ἀγαθῶν τῶν πόλιν καὶ δαίμονα, καὶ ἐμονοῦσαί τε καὶ συμβιωτικαί· ἐπιπακτικὴ τις οὖσα, καὶ ἔχουσα ὑποβλημένας πολεμικὴν τε, καὶ στρατηγικὴν, καὶ δικαστικήν. Σκέπτεται γὰρ ἡ πολιτικὴ ἄλλα μυρία, καὶ δὴ καὶ αὐτὸ τοῦτο· εἴτε πολεμητέον, εἴτε μή.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ Σοφιστοῦ.

Ὁποῖός δέ ἐστιν ὁ φιλόσοφος προειρήμεθα, τίνα διαφέρει ὁ σοφιστής· Τῷ μὲν τρόπῳ, τὴν μισθαρνίαν τῶν νέων, καὶ τῷ μᾶλλον νομίζεσθαι βούλεσθαι, ἢ εἶναι καλὸς καὶ ἀγαθός· Τῇ δὲ ὕλῃ, ὅτι ὁ μὲν φιλόσοφος περὶ τὰ ἀεὶ καὶ ὡσαύτως ἔχοντα καταγίνεται· ὁ δὲ σοφιστὴς περὶ τὸ μὴ ὂν πραγματεύεται, ἀναχωρῶν εἰς τόπον διὰ τὸ σκοτεινὸν, καὶ δυσδιόρατον. Τῷ δὲ ὄντι οὐκ ἀντίκειται τὸ μὴ ὄν. Τοῦτο δὲ ἀνύπαρκτον, καὶ ἀνενόητον, καὶ μηδεμίαν ἔχον ὑπόστασιν. Οὐ γὰρ ἐστὶς ἐστὶν ἢ νοῆσαι βιάζοιτο, περιτραπήσεται

διὰ τὸ μάχιμον αὐτὸ ἐν ἑαυτῷ περιέχειν. Ε
δὲ τὸ μὴ ὂν, καθ' ὃ ἐξακούεται ὑ φιλὴ ἀπόφα
τῷ ὄντος, ἀλλὰ μετὰ συνεμφάσεως τῆς πρὸς ἕτε
ρον, ὅπερ κὴ τυγὴ τρόπῳ τῷ ὄντι παρέπεται· Ὡς ο
μὴ κὴ αὐτὰ μετελάμβανε τὸ μὴ ὄντος, οὐκ ἂν ἐχω
ρίζετο τῆς ἄλλων. Νῦν δὲ ὅσαπερ ἐσὶ τὰ ὄντα, πα
σαυταχῶς κὴ τὸ μὴ ὂν. Τὸ γὰρ μήτι ὂν, οὐ
ἔσιν ὄν.

ΕΠΙΛΟΓΟΣ.

Τοσαῦτα ἀπαρκεῖ πρὸς Εἰσαγωγὴν εἰς τὸν
Πλάτωνος Δογματοποιΐαν εἰρεῖσθαι· Ὧν
ἴσως τὰ μὲν πεπαγμένως εἴρηται, τὰ δὲ σποράδην τε κὴ ἀτάκτως. Ὥστε μόνοι ἀπὸ τῆς εἰρημένων θεωρητικός τε κὴ διρετικὸς ἐξ ἀπολυθίας κὴ τῆς λοιπῶν αὐτῦ δογμάτων γενέσθαι.

Τέλος, κὴ τῇ Υἱῷ τῆς ἀειπαρθένυ Μαρίας
μόνῳ σοφῷ Θεῷ δόξα, κὴ κλέος.

ΠΙΝΑΞ.

ΠΙΝΑΞ

Ἁπάντων τῶν Κεφαλαίων, τῶν ἐν ταύτῃ τῇ τοῦ Ἀλκινόου φιλοσόφου Εἰσαγωγῇ περιεχομένων.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐστι φιλοσοφία, καὶ ὁποία ἡ φιλοσοφικὴ διφυία. φύλ. 3.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὁ φιλόσοφος προτείνει τὸ θεωρητικὸν τοῦ πρακτικοῦ. φύλ. 5.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁ φιλόσοφος καταγίνεται εἰς τρία, εἰς τὴν θεωρίαν τῶν πραγμάτων, καὶ εἰς τὴν τῶν ἠθῶν πρᾶξιν, καὶ εἰς τὴν τοῦ διαλέγεσθαι τέχνην. φύλ. 6

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ Κριτηρίου, καὶ περὶ τῆς τῶν ψυχῶν δυνά-

μεων τῶν προσηκόντων τῇ κρίσει. φύλ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὰ τῆς Διαλεκτικῆς καθήκοντα, ἢ στοιχεῖα. φύλ.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Τὸ τῆς προτάσεως, ἢ διαλέξεως εἶδος. φύλ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἀπείρασις τῆς Θεωρητικῆς ἐπιστήμης. φύλ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς Πρώτης Ὑ"λης. φύλ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν ἰδεῶν, ἢ τῆς ποιητικῆς αἰτίας. φύλ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τίνι τρόπῳ περιγράφεται ὁ Θεὸς, ἢ ποίοις γοις ἐξερεύνηται. φύλ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὅτι αἱ ποιότητες εἰσὶν ἀσώματοι. φύλ.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ κίτρων ; ἢ γενέσεως, ἢ στοιχείων, ἢ συνέξεως τοῦ Κόσμου. φύλ. 35.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς ἁρμονίας τῶν χημικῶν μιγμάτων τῆς στοιχείωσεως τοῦ κόσμου, καὶ αὐτοῦ τοῦ κόσμου. φύλ. 37.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς ψυχῆς τοῦ κόσμου, καὶ περὶ τῆς σφαιρᾶς, καὶ ἀστέρων. φύλ. 40.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ τῆς Δαιμονίων, καὶ στοιχείων. φύλ. 44.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'.

Ὅτι οἱ νεώτεροι θεοὶ ἐπιμερηγοὶ τοῦ ἀνθρώπου ; καὶ περὶ μετεμψυχώσεως. φύλ. 45.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ σώματος καὶ μελῶν τοῦ ἀνθρώπου, καὶ περὶ τῆς τοῦ ψυχῆς ἐνεργείας. φύλ. 46.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ ὄψεως, φωνῆς, καὶ τῶν καταπτελικῶν φαντασιῶν. φύλ. 48.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν ἄλλων αἰσθήσεων, καὶ τῶν ὑποκειμένων αὐτῶν. φύλ. 49.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ κύφωσις, καὶ βαρέων. φύλ. 52.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ Ἀναπνοῆς. φύλ. 53.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ αἰτιῶν τῶν Νόσων. φύλ. 53.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ τελῶν δυνάμεων τῆς ψυχῆς. φύλ. 54.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Περὶ διαιρέσεως τῶν μερῶν τῆς ψυχῆς. φύλ. 56.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

ἀθανασίας τῆς ψυχῆς. φύλ. 57.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

εἱμαρμένης, καὶ αὐτεξουσίου. φύλ. 60.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ἀγαθῶν, καὶ μεγίστου ἀγαθοῦ, καὶ περὶ ἀρετῶν. φύλ. 62.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

ἔρως καὶ διαιρέσεως τῆς Ἀρετῆς. φύλ. 67.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

ἀρετῶν, καὶ κακιῶν, καὶ περὶ τῶν διαιρέσεων τῶν. φύλ. 69.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

ἡ μὲν ἀρετὴ ἑκούσιον, ἡ δὲ κακία ἀκούσιον. λ. 72.

ΚΕΦΑΛΑΙΟΝ ΑΑ'.

φύλ. 73.

Περὶ φιλίας.

ΚΕΦΑΛΑΙΟΝ ΑΒ'.

Περὶ ἀδικίας, καὶ περὶ διαιρέσεως τῶν παθῶν. φύλ. 75.

ΚΕΦΑΛΑΙΟΝ ΑΓ'.

Περὶ εἰδῶν τῶν Πολιτειῶν. φύλ. 79.

ΚΕΦΑΛΑΙΟΝ ΑΔ'.

φύλ. 81.

Περὶ σοφιστῶ. φύλ. 82.

ΕΠΙΛΟΓΟΣ.

Τέλος τῦ Πίνακος.